Кро́ю, Кры́ю (καλύπτω, ϛεγάζω, κρύπτω) κρύω, κρύϝω, κρύβω, κρύφω, κρύπω,-πτω. (συγγεν. κορὸς, κόρυς, κόρυβος, κορυφὴ, κτλ. Γρμ. krub, krumb, krumm, ἐν οἷς ἐπικρατεῖ ἡ ἰδέα τȣ̃ συγκεκαμμένȣ, καὶ κυρτȣ̃ μὲν τὰ ἔξω, κοίλȣ δὲ τὰ ἐντός. βλ. Ῥείμ. λ. κρύβω). Кро́въ, Кро́вля (ϛέγη, ἐκ τȣ̃ Кры́ю, ὡς ἐκ τȣ̃ Ры́ю, Ро́въ. τὸ γὰρ ы=υ=ο, αἰολικ.) κρυβὴ, κρύβος (κρόβος) = κρύφος, Σ. κρυψάνα. ὡς καὶ κρυβὸς, κρύψ (ὁ κεκρυμμένος)· καὶ Крилò, ἢ Крылò (πτέρυξ, πτερύγιον, καὶ Καρν. krilo, κόλπος· ὡς ἐκ τȣ̃ Кры́ю, κρύω, Крилò. и = ы, ὡς υ, αἰολικ. = ι, οἷον κρυλὸν) κατὰ τὸ κρυβηλὸς, ἐνεργητ. ἀντὶ κρύπτον καὶ καμπτόν. Τοιȣ̃το καὶ τὸ λτ. ala (πτερὸν) ἐκ τȣ̃, μάλα, μάλη, ἡ μασχάλη=ἀσχάλη, Γρμ. Achsel, παρὰ τὸ ἄγω, ἄξω, ἀγνύω (κάμπτω, διὰ τὸ κοῖλον τῆς μασχάλης), ἀξάλη, λτ. axilla, ἀσκάλη, ἀσχάλη, μετὰ τȣ̃ μ (ὡς πνεῦμα) μασχάλη· ἔϛι δὲ τὸ (κρύω) κρύβω, συγγεν τȣ̃ κύρβω, κύρω, Корю̀, Кри́вый, γύρω, κυρτὸς· ὡς γȣ̃ν ἐκ τῆς ἐννοίας τȣ̃ κυρτȣ̃ καὶ κοίλȣ καὶ τὰ Καρν. krilo = κέλπος

(καθὰ καὶ τῦτο ἐκ τῦ κολοβὸς, κολοϝὸς κολὸς=κοῖλος) ὅθεν 'Ιτ. golfo, Γλ. golfe, παρ' ὃ τὸ Γρμ. Golk, Kolk. (βλ. καὶ Δοβρόβ. σελ. 240). 'Εκ τῦ Крыю (Крываю, κρυβέω, κρύβω) τὸ σύνθετ. Сокрываю, συγκρύβω (= θησαυρίζω). καὶ Сокровъ, ὁ θησαυρὸς, οἷον συγκρυβὴ, σύγκρυφος, συγκεκρυμμένος, κρυπτός. Συγγενὲς δὲ καὶ τὸ ἑτερόσημον κρύω (Крыю) ὅθεν Кровь. βλ. τὴν λέξ.

Кругъ (κύκλος, σφαῖρα, δίσκος, περιφέρεια) κρύϝος [κρυγὸς (ϝ=γ, καὶ β· ὡς, ὠϝὴ, ὠγὴ, ὠβὴ) κυρβὸς, curvus] ἀντὶ κυρὸς, γυρὸς, γῦρος, Γρμ. Kreis, κτλ. ἢ, κρίκος καὶ κρύκος? (ἐκ τῦ κρύκος, ἴσως, ἀντὶ κρίκος, τὸ τῆς Σ. κρυκέλλιον, καὶ κρικέλλιον=κρικύλλιον. οὕτω καὶ χιτὼν, κιθὼν = κύθος, κύτος· καὶ τὸ κέρκος δὲ = κίρκος). Кругъ мѣдянъ, Σλαβ. (κατὰ λέξ.= χαλκῦς γῦρος) = κύμβαλον (ὡς τὸ „χαλκόδετος κοτύλη· Αἰσχλ. καὶ τὸ κύμβαλον ἐκ τῦ κύμβω, κύβω· ὡς κυπτὸν, καὶ καμπύλον). Кружу̀ (ж = γ. ἀντὶ Кругу̀, κρύγω = κρύϝω, κύρϝω, γύρω, γυρόω, βλ. Корю̀) καὶ Кружка (ὡς ἐκ τῦ Кружа = Круга = κρύϝα) κυρβὴ, κυρὴ, γυρὴ, (κροσσὸς, ςάμνος) διὰ τὸ κυρτὸν καὶ καμπύλον· καθὰ καὶ τὸ κύβη, κύπη, κύπελλον, ἐκ τῦ κύβω· καὶ Γρμ. Krug. (βλ. Корчагъ). Круглый, Круглъ (ςρογγύλος, καὶ ὁ τορευτὸς) οἷον κυργελὸς, κρυγελὸς, συγκοπ. κρύγλος (ὡς ἐκ τῦ κύβω, κύβολον,

συγκοπ. κύβλον)· καὶ Кружилia, πληθυντ.= Крýти (κύκλοι) οἷον κυργίλια, ὡς ἐκ τȣ̃ κρίκος, κίρκος, κίρκυλος, circulus, κρικύλλιον-λλια (βλ. Крéндель). καὶ Кружúлія ὁ 'Ωρίων (ἀρχ. Σλαβον. 'Ησαΐ. ιγ, 10· καὶ 'Ιώβ. λη, 31) οἷον κρȣκελλία, Σ. κρȣκέλλα, ἤ· ὡς γύρος, σφαῖρα, σῶμα κυκλοφορȣ̃ν, καθὰ καὶ ἡ 'Ελίκη, ὁ ἀςερισμὸς, ἐκ τȣ̃ ἕλιξ (διὰ τὸ κυκλικὸν αὐτῆς σχῆμα), καὶ „ πανόπτης κύκλος 'Ηλίȣ (= δίσκος. Σοφοκλ.) καὶ, κυκλάδες ὧραι ('Ευριπίδ.) κτλ. Πρὸς τὸ Крýгъ πρβλ. καὶ τὸ Βασκικ. gur, γύρω (πέριξ)· καὶ ἐν πάσαις σχεδόν τι ταῖς Εὐρωπαϊκ· γλώσσαις τὰ θεματικὰ gur, kur, cir, cyr, κτλ. σημαίνȣσι κυκλοειδές τι· πρόσθες καὶ τὸ 'Αραβικ. kur, κτλ.

Крупà, βλ. Крупный.

Крупный, Крýпъ, Σερβ. Крпв (ςρεπτὸς, συνήθ. ςρυφτὸς, πυκνὸς, σκληρὸς, ξηρὸς). Кручỳ (ςρέφω, πυκνόω, συμπιλόω.) κρυςὸς, κρυςάω (κρυςαίνω, ὅθεν κρύςαλος). 'Εκ τȣ̃ κρύω· ἐνταῦθα ἴσ· ἀνήκει καὶ τὸ λτ. crudus· ἢ καὶ ἐκ τȣ̃ κρέω=κρίω, κρέας, κρῆς, αἰολικ. κρῦς, κρυτὸς, crudus. βλ. Грýдь· ὡς καὶ κράω, κραύω, κραῦος (κραβὸς) κραμβὸς, κρόμβος, (ὅθεν, Σ. σκρȣ̃μβος) κραῦρος, κτλ. Καὶ τὸ Крупà (χόνδρος, πόλτος, ἄλφιτον, Γρμ. Gersten-graupe, συγκεκομμένη κριθὴ) συγγενὲς φαίνεται τȣ̃ (κρύω) κρυμὸς, grumus, κρȣ̃μα

(μ = π. κρῦπα)· ὅθεν καὶ Σλαβ. Крупица, ψιχίον· καὶ Σερβ. Крупанъ (χονδρὸς)· καὶ Κρτ. Крупенъ (χάλαζα)· καὶ Ἀλβαν. krupa (ἅλας, διὰ τὸ πηκτὸν). καὶ Λτ. scrupus (ψηφὶς). πρόσθ. καὶ Γρμ. graupen, κτλ. βλ. Кро́ю.

Крушу̀ (συντρίβω. 2, μεταφ. θλίβω, πιέζω. ὡς τὸ Грушу̀.) Ϝρύσσω (κρύσσω) = ῥύσσω. ῥύζω = ῥάζω, ῥάσσω, ῥήσσω, καὶ Ἰων. ῥώσσω. Кру́хъ (βῶλος, κλάσμα) οἷον Ϝρύχος, ῥωγὴ, ῥαγὴ, ῥάκος = ῥῆγμα. τὸ ῥύσσω σώζεται καὶ ἐν τῷ ὀρύσσω (τὸ ο, εὐφωνικὸν) ὄρυγμα, ὀρυχή. κτλ. [ῥα, ῥο, ῥυ, μετὰ τῶν τῦ πνευματισμῦ ςοιχείων β, γ, κ, χ, θ, εἰσὶ φωναὶ θεματικαὶ πολλῶν ῥημάτων ῥήξεως καὶ θραύσεως σημαντικῶν· βλ. Ῥείμ. λ. ῥάζω.] Παράβ. Крошу̀. πρόσθ. Γρμ. griesen, grüsen (abgrüsen), Ὀλλ. gruitzen, κτλ. Ἐκ τῦ Кру́хъ τὸ ὑποκορ. Кру́шецъ Ῥωσσ. καὶ Πολων. = μέταλλον, ὡς ὀρυκτὸν· παρὰ δὲ Βοεμ. Крушецъ (Σρβ. Крушацъ) = θρυμμάτιον, κλασμάτιον.

Кру́шка, βλ. Гру́ша. Τὸ τῆς Σ. γκόρτσον, γόρτσον (εἶδος ἀχράδος) φαίνεται ἐκ τῦ Го́рецъ (πικρία) = Ϝόρκις, ὄκρις = ἄκρις, ὅθεν καὶ τὸ ἀχρὰς -άδος, καὶ τὸ ἄχερδος. βλ. Го́ркій.

Крха́ти, καὶ Крши́ти, ἐκ τῦ Крше́мъ Σερβ., καὶ Κροατ. kerham, kersem (Ϝρέσσημι, κρέσσημι) ἀντὶ Ϝρέσσω = Ϝράσσω, ῥήσσω, Γρμ. reissen, krachen (βλ. Крошу̀). 2, βήσσειν

(ἐπὶ ἵππων) Βοεμ. Крхлати, κράχω, ἀντὶ κέρχω (ἐπὶ φωνῆς βραγχαλέας) συγγ. κρέκω, κράγω, κράζω (= Ϝράζω, ῥάσσω, ῥάγω, ὅθεν καὶ βράχω, βραχμάζω (χρεμετίζω), καὶ βρύσσω, βρήσσω = βήσσω, βήχω. πρβ. μ. λ. cracho, Γλ. cracher (πτύειν), ὡς καὶ τὸ βρήσσω (βήχων ἐκπτύω).

Крюкъ (ἄγκος, ἄγκιστρον, ὄγκινος) συγγ. Крýгъ, κρίκος (καὶ κρύκος); βλ. Крýгъ. παρβλ. Γρμ. Krücke, κτλ. βλ. Клюкà.

Крылò, ἢ Крилò. βλ. Крóю, Крыю.

Крыса (μῦς, mus rattus) 'Ρωσσικ. συγγεν. ῥύσσω (γρύσσων) ῥύζω, ῥύγω, ῥύκω, βρύκω. ἢ ῥύσσω, ὀρύσσω, ὄρυξ. συγγεν. Рыю· ἐπιθανῶτ. Крыю, Крóю, βλ. Крóтъ, καὶ Мышь.

Кръждеваю (Креждеваю, τὸ д ἐπενθετ. ἀντὶ Крежеваю=ἀσθενῶ, μαλακίζομαι· ἐκ θέματος Креж=Крег, ὅθεν ἄχρης· Крежỳ, Крегỳ.) κ-ρέγω, κ-ρέζω, κ-ρέσδω, ἀντὶ=κ-ῥάγω, κ-ῥάζω, ῥάζω, ῥήσσω, ῥήγνυμι· ὅθεν Βοεμ. Крегек (krzehek)=θραυστὸς, fragilis. συγγεν. Крушỳ.

Крѣпкій, Крѣпокъ (ἰσχυρὸς, στεῤῥὸς, ὀχυρὸς) κρέπος, κρεπὺς, ἀντὶ κρετὺς, κρατὺς, κραταιὸς [ὡς, κράτος, κρατίων, ἰωνικ. (κρέτος) κρετίων, κρέττων, κρέσσων, 'Αττικ. κρείττων, κρείσσων· καὶ Αἰολικ. π = τ. ὡς πέμπε = πέντε· πέτορες, τέσσαρες· κύπος, κύφος = κύτος, κύθος· κύπαρος, κύταρος, κτλ.]. Крѣплю (Крѣпỳ, = κρεπῶ = κρετῶ =

κρατῶ (κρατύνω, κραταιόω). Крѣпость (τὸ κραταιὸν, κρατυσμὸς, ἰσχὺς, κραταίωμα, φρέριον) κρέπος = κρέτος, κράτος.

Кря́жъ (τμῆμα ξύλȣ παχὺ, ςέλεχος. 2, ὀρέων σειρά. 3, γῆς ςιβὰς, καὶ λίθων ἢ ἄμμου σωρός· 4, τὸ νέρτατον ἔδαφος τῆς γῆς· ἡ παρθένος γῆ, Γαλ. la terre franche, Γρμ. die Mutter—Erde.) χρὰς, συγκοπῇ, ἀντὶ χερὰς = χέῤῥος, χέρσος. [τὸ δὲ χέρσος = σχερὸς (σκερὸς) ξερὸς, ξηρὸς, ξηρά. ἐκ τȣ̃ χάρω, χράω, κτλ. βλ. 'Ρείμ. λ. χεράς.]

Кря́каю (ἐπὶ φωνῆς νησσῶν) κράγω (κράκω) καὶ κρέκω. (λέγεται καὶ ἐπὶ ςεναγμȣ̃· ὡς καὶ κρέκαλος = θρῆνος. 'Ησύχ.). ὅθεν Кря́ква, Кряку́ша (νῆσσα) οἷον κραύγα, κράγȣσα, κρέκȣσα, κράζȣσα. Πβλ. Κροατ. καὶ Πολ. Кракам (κράγαμι) κράγω, κράζω = κρώζω, καὶ Βοεμ. Крокаю. 'Ρωσσ. Гра́каю, Кра́каю· καὶ Ка́ркаю, Ко́ркаю. ὅθεν καὶ Крук, Кручек, Πολων. (κρόξ) κόραξ (corvus corax), Καρν. Крокаръ, ὡς τὸ συνήθ. κλωξάρι. Γρμ. Krahe, Krohe, Krähe· καὶ τὸ Rab, Rabe (κόραξ) ονοματοποιΐα, κρὰ, κ-ρὰϜ, (κρώζω) κτλ. βλ. Кре́ка, Кри́къ.

Кто̀ (к, ко, καὶ то = τίς) κὸς, τὸς, τίς, κὶς, λτ. quis· (τὸ δὲ κότος, λτ. cotus, quotus = κόσος, πόσος). ἡ γενικ. Кого̀ (ἐκ τȣ̃ ко) κόϜο = (κόοο) κόοιο, κόου (τόου, τέου τοῦ.) λτ. cuius. δοτ. Кому̀, κό(μ)ῳ = κόῳ,

quo, *κτλ. Πρβλ. Γτϑ.* hwas, hwe, hwata, *Σνσκρ.* kah, ka, kad, *Ζενδ.* keie, *κτλ.*

Кубáрь (*βέμβηξ, ῥόμβος*)=*συνήϑ. κουβάριον, κύβαρος* (*ἡ ἀγαϑὶς, καὶ πᾶν τὸ συνεςραμμένον καὶ σφαιροειδὲς· ἐκ τῦ κυβὴ, ὑποκορ. κυβάριον, διὰ τὸ ςρογγύλον καὶ κεφαλοειδὲς τῦ βέμβηκος.*)

Кубóкъ (*βαυκάλιον*) *κύφος* (*κύβος, κύπος*) *σκύφος, καὶ κυβίον* (*κυμβίον*) *κύπελλον.*

*Кýбъ, *τὸ λτ.* cubus, *κύβος.*

Кýбъ (*ἄμβυξ. συνήϑ. ἀλ-αμβύκος*) *κύβος, κύπος, κύφος, σκύφος* (*συγγενὲς* Кубóкъ, *διὰ τὸ κυρτὸν καὶ περιφερές· ὡς καὶ τὸ ἄμβυξ ἐκ τῆς ἀμφὶ = περί· ὅϑεν καὶ ἄμβιξ, καὶ ἄμβικος, ὁ· „ ἄμβικος, χύτρα, κάδος.* '*Ετυμολ. βλ.* Алéмбикъ.)

Кувшúнъ (*ςάμνος, λάγηνος. συγγεν. κουψέλη*) *κυψέλη, κύβελον* (*κυβὴ, κύπω, κύβω, κύω*). *βλ.* Ковчéгъ, Кóвшъ, *κτλ.*

Кувы́ркаю,-юся, *κυβιςάω* (*ἐκ τῦ κύβη· οἷον, κυβηράω· ὡς, κυβήριον, κυβάριον, συνήϑ. κυβάριον, ὅϑεν, κυβαριάζω - ζομαι.*)

Кудà, Кудѣ, *κῦδὰ, κῦδὴ,* (*πῦ δή.*)

Кудáхчу (*κακκάζω ἐπὶ ὀρνίϑων*) *κυδάζω, κυδάξω, κυδάκσω* (*κυδάκζω*)=*ἐπιφωνῶ* ('*Ησύχ*') *ἢ, δ=τ=κ* (*κοδάζω*) = *κοκκάζω, κακκάζω.*

Кудéлъ, *βλ.* Кýдерь.

Кýдерь, *πληϑ.* Кýдри (*κίκιννοι, ἕλικες τριχῶν*) *Βὸρ.* kaderz, *Πολ.* kędzior, *Καρ.* ko-

der, *καὶ* kodra.=*κότταρον*, *κοττάριον* (*Ἡσύχ.*) *ἐκ τῦ κόττα*, *κοδδὰ* = *κεφαλή*. *ὅθεν καὶ τὰ συνήθ. κατσαρὰ* (*καὶ σγυρὰ*, *γυρὰ*, *οἱ κίκιννοι*), *καὶ κοτταβίας* (= *οὐλόθριξ*. *Ἡσύχ*· *συνήθ. κατζαρομάλης*, *κατζαρὸς*) Кудрявъ, Кудрявый, *Σρβ.* кудрав, *Καρ.* кудрасш, кудровец, *Βομ.* кудрнашый, кудрна, *καὶ* кучера. (*ἐκ τῦ κότταρος*, *κόττα*, *καὶ τὸ τῆς Σ. κωμικ. κοῦτρα* (*κεφαλή*, *καὶ μέτωπον ἐξέχον*) *καὶ κότρας*, *ἀντὶ κοταρᾶς*, *ὁ*, *ῶς*, *κεφαλᾶς*). *Τῦ* Кудерь *συγγ. φαίνεται τὸ* Куделъ (*τὸ ἐπὶ τῆς ἠλακάτης μήρυμα*, *τολύπη ἐρίων*, *ςυππίυ*, *λίνυ*, pensum lini) *ἀπὸ μεταφορᾶς τῶν τῆς κεφαλῆς τριχῶν*, *καθὰ καὶ κοττάρια*, *τὰ ἄκρα τῆς κέγχρυ* (*ὡς τριχώδεις ἀποφύσεις*. *Ἡσύχ.*). *Ἢ*, *τὸ* Куделъ = *κυτάλη* (*σκυτάλη*) *καὶ τῦτο ἐκ τῦ σκύτα* = *κύτα* = *κότα*, *κόττα* (*ἡ κεφαλή*), *ὅθεν καὶ τὸ συνήθ. κύταλον*, *ἢ κύτελον* (*μέτωπον*). *Καὶ τὸ κόνδος* (*κεραία*, *κορύνη*. *Ἡσύχ.*) = *κότος*, *κόδος* = *κοδδὰ*, *κόττα*· *ὥςε τὸ* Куделъ *ἐξελήφθη ἀντὶ τῆς τολύπης*, *ὡς κεφαλοειδῦς καὶ ἐπὶ τὴν κεφαλὴν τῆς ἠλακάτης* (*τὸ συνήθ. ῥοκοκέφαλον*) *περιειλημένης*. *οὕτω καὶ τὸ κότταρον* (*ἐκ τῦ κόττα*) *μετέπεσεν εἰς τὸ τῆς συνηθ.* (*κοτταρὸν*) *κατσαρὸν* (*ἐπὶ τῶν τριχῶν τῆς κεφαλῆς*). *Ἐκ δὲ τῦ κόνδος γίνεται καὶ τὸ*, *κόνδυλος*, *καὶ κονδύλη* (*κυρίως*, *οἴδημα*, *ὄγκος κεφαλοειδὴς*, *κτλ.*), *τοιῦτο φαί-*

νεται καὶ τὸ ἐπὶ τῆς ἠλακάτης μήρυμα· καὶ εἴη ἂν πιθανώτατα τὸ Кудѣлъ, Кудѣля=(κόδυλος) κόνδυλος, -δύλη· ὡς καὶ τὸ κορδύλη.

Кукаю (φθέγγομαι, βαβύζω, γρύζω) κοκκύω, κοκκύζω [ἐκ τοῦ κόκκυ, κόκκυξ· ὡς καὶ, κοκκύζει = ταράττει, φωνεῖ ὀξέως (Ἡσύχ.) ἐκ τοῦ κοκκύω, καὶ τὸ κωκύω]· καὶ Кокую, καὶ Кукую, ἐπὶ κόκκυγος, βλ. Кокошъ.

Кукла (πλαγγὼν συνήθ. κοῦκλα [ἐκ τοῦ κύλη, κύλα, διπλασ. κυκύλα (ὡς, κύκυλος, συγκ. κύκλος) συγκοπ. κύκλα, κοῦκλα· παρὰ τὸ (κύω, Кую) κύλος = κοῖλος, κύλη, κύλον, ὅθεν σκύλον = δέρμα, κτλ. ἀφ' οὗ σκυλόω (=καλύπτω. βλ. Ῥείμ. λ. σκύλον)=κυλόω, ὅθεν Συν. (διπλασ. κυκυλόω, κουκουλόω) κουκουλόνω (καλύπτω). Ἐκ τοῦ κύλος, καὶ τὸ λτ. cullus, culleus, cucullus, cucula, συνήθ. κουκούλλιον, κουκούλλα (κάλυμμα κεφαλῆς). Κοῦκλα τοίνυν ἡ πλαγγὼν ὡς κοίλη τὰ ἐντὸς καὶ κούφη μορφή, ζωΐδιον κενὸν ὀστέων καὶ σαρκὸς, καὶ αὐτόχρημα κύλον, σκύλον (δέρμα, κάλυμμα). ὡσαύτως καὶ τὸ κύσθη (ὅθεν παράγουσι τινὲς τὸ ἕτερον τῆς Σ. κατὰ τόπους, κοῦτζα = κούκλα) σημαίνει κοῖλον. Ὁ Ἡσύχ. ἔχει καὶ „καικύλη, κεφαλή. Ἴσ. κυκύλη (κύλη) ὡς τὸ κύκυλος, ἐκ τοῦ κύω, παρ' ὃ καὶ ἡ κυβή.] ὅθεν

Куклянка, εἶδος ἐπενδύτου μετὰ κουκούλλας. ὡς ἡ τῆς συνηθ. καπανίτσα, οἷον κουκουλλάτα.

(βλ. Кукла, Куль καὶ Капище). Кукуль δὲ, τὸ μοναχικὸν κουκούλλιον.

Кукшу (χυδαῖον, = τρίβω δακρύων τοὺς ὀφθαλμοὺς.) ἐπλάσθη ἐκ τοῦ ξύω, (κσύω, κύκσω).

Кукушка = Кокушка.

Кулакъ, κόλαφος [φ = χ. κόλαχος, κόλακ-ος· ὡς, ὀσφὺς = (ὀσχὺς) ἰσχὺς, ἰξὺς (ὅθεν καὶ τὸ λτ. coxa)· ὄφις (ὄχις) ἔχις· σέλεφος, σέλεχος, κτλ.]. βλ. Пясть.

Кулганъ (εἶδος κρωσσοῦ.) κυλικάνη, -χάνη, ὅθεν συγκοπ. τὸ ἑλλην· κυλίχνη, λτ. culigna. (ἐκ τοῦ κύλιξ, κύλικος. ὡς ἐκ τοῦ πόλις (πόλιξ, ικος) πολιχάνη-λίχνη. Οὕτω καὶ πλάκω πλάκανον, -χανον, σπλάγχνον). ἐκ δὲ τοῦ κύλιξ, τὸ λτ. calix, 'Ιτ. calice, Γερμ. Kelch, 'Ισλ. Kaleikr, καὶ Βλαχικ. kelke· (ἡ κατάληξ. τοῦ Кулганъ ὡς τὸ Лоханъ, Стоканъ· καί τοι ξενίζειν δοκοῦσα, κατὰ τὰ εἰς gan Ταταρικά· ἔςι δὲ καὶ Ταταρ. kumgan=πρόχοος).

Куликаю (πίνω, πίνων κύλικας μεθύω) κυλικίζω (κυλικάω)· ὡς τὰ, κωθωνίζω, κυαθίζω (καὶ συνήθ. γαβαθίζω). Куликало (πότης) οἷον κυλικιςὴς, κωθωνιςὴς, Σ. γαβαθιςὴς, γαβάθας. ἴσ. συγγ. Кулганъ.

Куличъ, κόλλιξ, κολλύκιον. βλ. Калачъ.

Куль (σάκκος) κοῦλος, κόλος (=κυλὸς) ὅθεν κολεὸς, κουλεὸς, λτ. culeus. Кулекъ (σπυρὶς), κτλ.

Куна ὑποκορ. Куница, τὸ Σ. κουνάβι καὶ κουνάδι. λτ. cuniculus, ὅθεν καὶ κόνικλος, καὶ

κύνικλος (*Στράβ.*) *Γρμ.* Kaninchen· *καὶ* Куница горная, *ἢ* каменная (*κȣνάδι ὀρεινὸν*) *ὁ Τȣρκικ. καὶ Σ. Ζαρδαβᾶς*, *λτ.* mustela foina. *Τὸ πρωτότυπ.* Куна = *κύνα*, *κύννα* (*κύριον ὄνομα* = *κύων*, *ἢ*) *ὅθεν* Куница = *κυνίσκα· καὶ τὸ* cuniculus *ἐκ τȣ̃* cunicus *εἴη ἂν* = *κȣνικὸς*, *κυνικός*.

Купа (*σωρὸς*) *κύβα*, *κυβὴ*, *κύβος* [*ἐκ τȣ̃ κύβω. τὰ γὰρ κύπτοντα καμπυλȣ̃νται καὶ ἀνυψοῦσι τὴν ῥάχιν· ὅθεν ἐκ τȣ̃ κύβος καὶ ὁ ὑβὸς*, *λτ.* gibbus· *ἐκ δὲ τȣ̃ ὑβὸς* (*ὑπὸς*) *τὸ ὕψος. βλ.* '*Ρείμ.*]. Куплѣю, *ἀπρμφ.* Купити (*συνάπτω, ἀθροίζω· ὡς ἐκ τȣ̃* Купу) *κύπω*, *κυπῶ*, *κυβῶ-βόω*, (*ἐκ τȣ̃ κύω* = *κάω*, *καύω*, *κάβω*, *κάπω*, *κάμβω*, *κάμπω*, *κάμπτω*, *καμπύλος*, *καμπυλόω*, *κτλ.*) *εὔχρης· ἐν τοῖς συνθέτ.* Совокуплѣю, *κτλ. πρβ. καὶ Γρμ.* Haufe, (Haube, Haupt. *συγγ.* Schober, *κόρθυς*). *Περὶ δὲ τοῦ λτ.* copulo, copia, *βλ.* Обиліе. (*βλ.* Купаю, Купую, Кую).

Купаю (*βυθίζων εἰς τὸ ὕδωρ πλύνω, λȣ́ω*) *κυβάω*, *γυβάω·* „ *γυβᾷ*, *κολυμβᾷ*. '*Ησύχ.*) *ἐκ τȣ̃ κύβω ενεργητ.* = *κύπτειν ποιῶ τὸν λȣόμενον*, *καὶ* (*κύβω*, *κύω*, *κύθω*) *κεύθω τȣ̃τον ἐν ὕδατι.* Купель (*κολυμβήθρα*) *συγγεν. κύπελλον*, *ἐκ τȣ̃ κύπη*, *κύβη*, (*κύπω*, *κύβω*, *κύω*), *ὡς καὶ* (*κάω*, *κάπω*) *κάφα* (= *σκάφα*) = *λουτήρ. Λάκωνες* ('*Ησύχ.*). '*Εκ τȣ̃ κυβὴ*, *καὶ τὸ κυβιςάω· ὡς τὸ* „ *κυβιςᾶν κατὰ*

ῥέεθρα (ἐπὶ τῶν νηχομένων ἰχθύων. Ὁμηρ.). Καὶ τὸ κολυμβάω, κόλυμβος, φαίνεται ἐκ τοῦ κόλυβος = κολοβὸς = κολοϜὸς, κολοὸς, κολὸς, κυλὸς, ἐκ τῦ κύω. ὡς καὶ τὸ νευςὴρ, νεύω, παρὰ τὸ νέω, νύω = κύβω, κυβάω. τὸ δὲ χύω (χύϜω) ἐκ ἂν τις, οἶμαι, πρὸς τὸ Купáю (Купỳ) ὀρθῶς παραβάλοι, κατὰ τὸ χύτλον, χυτλόω. βλ. Куѝ.

Купинà (βάτος) συγγεν. Кýпáю, (κύβω, κύβω, κάμβω, κάμπτω) καμπύλη, καμβὴ, σκαμβὴ, ὡς, ὀκάμβυξ, σκαμβάλυξ, = σκόλοψ (Ἡσύχ.) οἷον καμπυνὴ, καπανὴ (ὡς σκαπάνη). Οὐ γὰρ παρὰ τὸ Купýю, ὡς δῆθεν κάπτουσα (δρασσομένη).

*Кýполъ (θόλος) Ἰτ. cupola, Γλ. coupole, Γρ. Kuppel, μσ. λτ. cuppulla, συγγ. κύπελλον, κύφελλον, κυψέλη (κύβω. διὰ τὸ ἐντὸς τοῦ θόλου κοίλωμα), καὶ Τουρκ. kubé..

Кýпорю (πωματίζω.) οἷον, κυπαρῶ. ἐκ τῦ κύπαρος = κύταρος, καὶ κύτταρος (πῶμα, κέλυφος βαλάνου· καὶ πᾶν τὸ κοῖλον, κύτος). τὸ Γλ. boucher, ἐκ τῦ bouche (ςόμα)=ςοματίζω (βύζω, βύω). τὸ δὲ Γρμ. zustopfen, stopfen, μ΄. λτ. stupare, Ἰτ. stoppare, Γλ. estouper=ςύπω (ςύπος) ςυπάω (ςυπάζω) καὶ ςυπόω, συνήθ. ςουπόνω, ςουμπόνω.

Купýю, Ῥωσσ. Куплю̀ (Купỳ, ὠνοῦμαι, ἀγοράζω) κάπω [κούπω, α=ου=υ, ὡς Ἑκάβη, Hecuba. βάζω, δωρ. βύζω, βαβύζω = βι-

βάζω· ἴσως δὲ καὶ (κατὰ τὸ, κάπω, κώπη) κύπω· ο=ȣ. Ἔςι γέμην καὶ ἄλλως τὸ κάπω ἐκ τȣ̃ κάω, καύω, συγγεν. τȣ̃ κύπω, κύβω, κύω] κάπτω, λτ capo, capio, capto, accipio, accepto (*ὅθεν Γλ.* achêter, *ὠνεῖσθαι, ἀρχ.* achepter)· „ *κάπτοντες, ἀποδεχόμενοι* (*Ἡσύχ.*), *Γρμ.* kaufen, *τȣ̃το δὲ παρήγαγόν τινες καὶ ἐκ τȣ̃ ἑβραϊκ* kaf (*χείρ*), *ὅτι χεῖρας ἀλλήλων λαμβάνȣσι πρὸς πίςιν* (*Ἰλ.* Λ) *οἱ συμφωνȣ̃ντες ἐπὶ πράσει καὶ ὠνῇ· ἀλλὰ καὶ τὸ* kaf *συμπίπτει μετὰ τȣ̃ κάπω, ὅθεν καὶ τὸ κώπη* (*κυρίως=λαβή*). Купéцъ (*ὠνητής, κυρίως ἔμπορος*) *κάπτης, καπτήρ=κάπηλος* (*καὶ τȣ̃το ἐκ τȣ̃ κάπη, κάπω*). Кýпля (*ἐμπόριον*) *καπηλεία. κτλ. Καὶ τὸ λτ.* cupio (*ἐπιθυμῶ*) *ἐκ τȣ̃* capio, *κάπω, καύω· ὡς τὸ χατέω, χᾶτις ἐκ τȣ̃ χάζω, χαύω, χάω=κάω, καύω. βλ.* Кую.

Кýръ (*ἀλέκτωρ*) *κίῤῥος, κικίῤῥος=κοκκοβόας· καὶ,* „ *κόρκορα, ὄρνιν. Πάφιοι* (*Ἡσύχ.*) *καὶ* Кýрица (*ὄρνις ἀλεκτορίς*) *κίῤῥα* (*ὡς κικκὰ ἐκ τȣ̃ κικκός. Γρμ.* Kikkerri—Hahn.). Кýры (*πληθυντ.*) *ὄρνιθες, ἀλεκτρυόνες, ἀλεκτορίδια* (*κίῤῥοι κίκιῤῥοι*). *Βοεμ.* kure, *κτλ. πρβλ. Ἑβρ.* korre, *Τȣρκ.* choroz (*ἀλεκτρυών*). *Περσ.* churchan. (*καὶ συνήθ. κȣ̃ρκος, ὁ αἰγύπτιος ταώς Τȣρκικ. μισσίρ ταȣ̃κ.*) *κτλ.* Кукурéкаю *συνήθ. κȣκȣρίζω = κοκκύζω. βλ.* Кóкошъ.

Курлыкаю (*κλάγγω. ἐπὶ γεράνων*) *πεποιημένον*

ὡς ἀπὸ τοῦ φθόγγυ Кур, Курл, *κόρ, κρό· μετὰ προσθέσ. τῦ λ (βλ.* Лапша)· *ἢ ὡς τὸ,* gurgulio, *γαργαρεὼν, γαργαρίζω, γαργαίρω, καρκαίρω.*

Курва (*πόρνη*) *Γρμ.* Hure, *'Ιαλ.* hora. (*κατά τινας ἐκ τῦ σκὼρ, σκωρία· κατ' ἄλλυς δὲ πιθανώτερον* = *κόρη* (*κατ' εὐφημισμὸν, ὡς Γαλ.* fille de joye, *Γρμ.* Mädchen) *κούρη, κούρα, κύρϝα. οὕτω καὶ τὸ τῦ μέσ. λτ.* curia (*κυρία*), *κτλ. Εἰ δ' ἦν τὸ* Курва *λέξις ὕβριν διαγράφυσα, ἦν ἂν ὡς τὸ, χύῤῥα, χύρϝα* (*χούρϝα*), *ἐπιφώνημα πρὸς χοίρους,* (*ἐκ τῦ ὗς, Λακων· ὗρ, hῦρ, hύρα, ὅθεν καὶ ὁ ὕραξ*), *καθὰ καὶ μεταφ. ἐν τῇ Σ. τὸ, γρόνα, γυρόνα, 'Ισπαν.* gorrona (*πόρνη*), *ἐκ τῦ γρῶνος, γρώνα* (*γρώω, γράω*)· *καὶ σκρόφα, παρὰ τὸ γρομφὰς* (*γροφάς. λτ.* scropha.)

Курю́ (*καπνίζω*) *συγγ.* Горю? *λτ.* uro. (*οὔρω* = *αὔρω, αὔω*), *ὡς καύω, κάπω, κάπος, καπνός· ἢ* (*κ* = *π*) *πυρῶ;* (*ὡς καὶ καπνίζω* = *ἅπτω πῦρ.*)

Куса́ю (*δάκνω*) *συγγεν.* Кушаю.

*Кутія́, *κηδεία* (*τὰ μετὰ τὴν τῦ νεκρῦ κηδείαν κόλλυβα. 'Εκκλησ.*) *βλ.* у = *η*.

Ку́тъ (*γωνία οἰκήματος, αἰγιαλῦ μυχὸς, ἀγκὼν*) *κύτος* (*κῦτος*)· *καὶ* Кутóкъ (*κανθὸς ὀφθαλμοῦ*). Ку́таю (*καλύπτω*) *κούθω*=*κύθω κεύθω.* Кута́ніе (*κάλυψις, οἷον δι' ἱματίου κτλ.*) *συγγεν. χιτωνία, χιτώνιον, χιτὼν ἐκ*

τῦ κύτος, κύθος (καὶ υ=ι αἰολικ.) κίθος, καὶ Ἰωνικ. κιθὼν, κιθώνιον ἀντὶ κιτώνιον, ὅθεν τὸ τῆς συνηθ. παρὰ Σμυρναίοις γυναικεῖον τζιτιώνιον (βρακίον). Πρβλ. Γρμ. Kütte, Ἰτ. kotta, Γλ. cotte, cotteron, κτλ. καὶ Ἑβρ. chütonet. κτλ. βλ. Кую.

*Кýфа (βυτίνη, βυτίον) Γρμ. Kufe, Koffer, Κτσξ. Kiepe, Kype, Γλ. cuve. μ'. λτ. cuva, cupa=κύβα, κυπὰ, κύπη, Σ. κοῦπα, γύβα· ὡς καὶ κίββα, κίβα, κίβησις, κιβωτὸς· καὶ κύπος, κύφος, σκύφος, Γρμ. Küpe, Kuppe, Kübel, Γλ. gobelet, κύβελλον, κύπελλον. κτλ. ἐπὶ κοίλων καὶ κυρτῶν σκευῶν· ὅθεν καὶ „κύκλα κοφίνων=κυκλοτερεῖς κόφιν. Νόννος. βλ. καὶ Кóша, καὶ Ковчéгъ.

*Кýхня (μαγειρεῖον) τὸ Γρμ. Küche, Ἰτλ. cochia, cocina, Γλ. cuisine, μ'. λτ. coquina, ἐκ τῦ coquo, κόκϜω=πόπω, ἀντὶ πέπω, πέπτω [κ = π. ὡς quinque (κέγκε) πέμπε. quatuor (κάτορα) τέτορα, κτλ.]. ἐκ τῦ coquo, coquina, Кýхня. ὡς ἐκ τῦ πέπω, πόπανον (κόκανον), οἷον ποπανεῖον (ὡς ὀπτανεῖον).

Кýча (σωρὸς) κόκυξ (Ἡσύχ.) συνήθ. κῦκος.

Кучý (ϛρέφω, ἐπὶ ἀνεμοϛροβίλȣ) κυκῶ (κȣκῶ) κυκάζω.

Кýчусь (λιπαρῶ, ποτνιῶμαι. ὡς ἐκ τῦ Кýчу, κȣ́ζω, κύζω) = σκύζω, Συνήθ. σκȣ́ζω=ὀδύρομαι, καὶ ποτνιῶμαι· „σκύζȣσιν, ἡσυχῇ ὀδύρονται. (Ἡσύχ.). εἰ μή τις φαίη καὶ τὸ

μέσον Кучусь, *ἐκ τȣ̃ πρώτȣ* Кучу̀, *κυλίομαι ὡς τὸ κυλινδȣ̃μαι πρὸ τῶν ποδῶν, προσπίπτω, καὶ Σ. παρὰ τοῖς Ποντικοῖς, ποδεδίζω= ἱκετεύω, ἐκ τȣ̃ ποδίζω, προποδίζω (γονατίζω). Ἀλλ' ἔμοι γε δοκεῖ τὸ* Кучусь *ἐκ τȣ̃* Кучу = *κύζω, σκύζω-ζομαι. ὅθεν καὶ* Скучаю (*ἀλύω, ἀνιῶμαι*) *σκύζω, σκύζομαι* (*δυσφορῶ, σκυθρωπάζω.*)

*Кушню, kuschniu, *Καρνιολ. τὸ Γρμ.* küsse (*κύσσω*) = *κύω* (*φιλῶ.*)

Кушаю (*γεύομαι. ὡς ἀπὸ τȣ̃* Кушу) *γύσσω* (*γύσσω*) *λτ.* gusto (*γύσθω; Γρμ.* koste), *ἐκ τȣ̃ γύω μέλ. γύσω, ἀντὶ γεύσω, γεύω* (*Γρμ.* keue). *ἔςι δὲ τὸ γεύω παρὰ τὸ γύω* (*ὡς ἐκ τȣ̃ κύω, κεύω, κεύθω, κτλ. συγγεν.' γάω, κάω, καύω, κάπτω, Σ. χάφτω* (*ὥςε τὸ γεύω, -ομαι = κάπτω, λαμβάνω ἐν κοίλῳ τῷ ςόματι*). *Τȣ̃ δὲ* Кушаю, Кушу (*γέσσω*) *συγγεν. τὸ Σ. γέσσα, ἢ γέσια, ὁ ςόμαχος τῶν πτηνῶν = κύσσα, ἀντὶ κύστα, κύςη, ἐκ τȣ̃ κύω = γύω* (*βλ.* Зубъ). *τοιȣ̃το καὶ τὸ Γρμ.* Gosse, *κτλ. βλ.* Кую.

Куща (*σκηνὴ*) *ἴσως συγγ. κύςη* (*κοῦςα*) *ἐκ τȣ̃ κύω, γύω = χωρῶ* (*ὡς καὶ τὸ σκηνὴ ἐκ τοῦ σκένω, σκέω = κύω, κύθος, κύτος, Γρμ.* Hütte = *καλύβη, κτλ.*). *τὸ Δαλμ.* kucha = *οἶκος. βλ.* Кую.

Кую (*κόπτω, χαλκεύω. ἀπρμφ.* Ковать, *ὡς ἐκ τȣ̃* Кову) *κούω = κόω, κόϜω* (*κόβω*)

κόπω, κόπτω. (καὶ ἐπὶ χαλκέων „ κόπτε δὲ δεσμοὺς. Ὅμηρ.)· τὸ δὲ κόω=κύω, (κύδω) λτ. cudo. ὡς καὶ, κάω, κάδω, κάζω· καὶ, κέω, κέδω, σχέω, σχέδω, κέζω, σχάζω, κτλ. τῆς δ' αὐτῆς συγγενείας καὶ τὰ cutio, percutio· βλ. καὶ Кажу̀ (τιμωρῶ). ἀλλὰ καὶ τὸ κάμνω ἐκ τοῦ κάμω, μ = β, κάβω (κάω = κύω), ὅθεν καὶ τὸ κάμβω, κάμπτω, κτλ. τὸ δὲ κάμνω=μετὰ κόπου τι ἔργομαι, ποιῶ. „κάμε τεύχων (Ὅμ. ὅθεν καὶ συνήθ. τὸ, κάμνω ἀείποτε ἐπὶ τοῦ ποιῶ, πράττω, ἐργάζομαι). Ковáчъ (χαλκεύς) ὡς κόπτης (κόπας, κόβας) κοπεύς. Кýзнь (χρύσωμα, ἀργύρωμα, σκεῦος χρυσοῦν ἢ ἀργυροῦν, κτλ.) ὡς τὸ κόμμα. τὸ δὲ Кóзнь, Σλαβ. Къзнь, καὶ Σερβ. Кьзнь (μεθοδεία, πανουργία) = κόδος, κόδων (κόζων) κῶδος, κώθων, κῦθος, κώδων [τὰ πάντα κοιλότητος σημαντικὰ, κατὰ τὸ ковъ, ἀπὸ τῶν κοίλων τόπων, ἐν οἷς ἐνεδρεύουσι, μετενηνεγμένης τῆς σημασίας καὶ ἐπ' αὐτῆς τῆς ἐνέδρας. αὐτὸ δὲ τὸ κῶδος, κόδος, κοδὰ=κοδδὰ, κοττὰ (=κυβὰ, κυβή· β=δ, ὡς κύδαρ, κύδας=κύβας, ὁ τάφος, διὰ τὸ κοῖλον. δελφὶς, βελφὶς, κτλ.) καὶ ταῦτα δὲ ἐκ τοῦ κόω, κύω, κύθω, κεύθω· καθὰ καὶ τὸ Кóзонъ (ὁ ἀστράγαλος) διὰ τὸ κοῖλον καὶ κυρτόν]. Ἀλλὰ καὶ τὸ Ῥωσσ. Ковáрный, Ковáренъ (πανοῦργος, ἐκ τοῦ ковъ) τὴν αὐτὴν ἰδέαν ἐμφαίνει. Οὕτω καὶ τὸ κόβειρος, καὶ κό-

βαλος (πανȣ̃ργος, μόθων) ἐκ τȣ̃ κυβὴ (βλ. Ῥείμ.), πρὸς δ᾽ παραβάλλεται καὶ τὸ Γλ. gobelin, Γρμ. Kobold. βλ. καὶ Кόвъ, Ковчéгъ, Окóвъ.

Кукурýза, Ἰλλυρικ.=ζειά· ὅθεν καὶ παρὰ τοῖς Δάκαις, κȣκȣρόζι, τὸ παρὰ τοῖς Ἕλλησι συνηθέςερ. ἀραποσίτι (Ἀράβων, Ἀραβίας σῖτος, ὡς τὸ Τȣρκ. Missir [Ἀιγύπτȣ] bogdà), καὶ καλαμποῦκι, [ἴσως ἐκ τȣ̃ κάλαμος, καλαμὶς, κάλαβος (μ = β. καὶ παρενθέσ. τȣ̃ μ. ὡς, κύμβη, κύβη, κτλ.) κάλαμβος, καλαμβὶς, καλάμβυξ, -βύκιον. ὡς ἐκ τῆς μακρᾶς καλάμης τȣ̃ φυτȣ̃]. τὸ δὲ κȣκȣρόζι μήποτε ἐκ τȣ̃ κόκκος, ῥίζα (οἷον κοκκόριζα;) ὡς κοκκωνάρα, κοκκωναρία, κτλ. Ἄλλο τὸ τȣ̃ Ἡσύχ. κυκύϊζα (γλυκεῖα κολοκύνθη), Ἰτ. cucuzza (σικύα.) βλ. Ῥείμερ.

Къ, βλ. Ко.

Кыка, Σερβ. καὶ Ἰλλυρικ. (κόμη, κόσσυμβος) κίκα? = κίκος, κίκις, ὅθεν κίκιννος· λτ. cincinnus.

Кынỳ; κίνω, κινέω-νῶ (κίω, cio, cieo). ἢ κύνω, κυνέω-νῶ· ἐκ τȣ̃ κύω, κύβω, κυβέω, Кывáю (Кывỳ) βλ. Δοβρόβ. σελ. 104.

Кшúкъ, Ксúкъ, Πολων. συριγμὸς. καὶ kszykac', ksykac', συρίζειν· = ψύζω, (ψὺξ, ψυγμὸς) ψύδδω, ψύττω, ψύθω (καὶ ψ=ξ, ξὺξ, ξύζω· ὡς ἴξ, ἴψ· ὄψ, vox.) καὶ ψίζω=σίζω, Γρμ. zischen. κτλ.

*Кулоста́ммы, *κοιλόςαθμοι*. (*Σημείωσ.* ы=*οι*. *καὶ* кв = *κοι*, *ὡς ἐκ τῆ κυλόςαθμοι· εὑρίσκεται δὲ διπλῆ ἡ γραφή*). *Γρφ.* *'Αγγ.* *α*, 4. *ἐν ἀρχ. κώδηξ. Βλ. Δοβρόβ.* 220.

Л.

Л. Л, л (Люди, *λιούδοι*.) = Л, *Λ*, *λ* — Л = *λ'* (30). — ,Л = *λ* (30000).

Лаба́зъ (*σιτὼν, ἀποθήκη*) *λάπασον*, *Λακων*. = *λάπαθον* (*ὄρυγμα*, *ἐκ τῆ λάπω*, *λάφω*, *λάβω*, *λαύω*, *λάω*, *λάμος· ὅθεν λάμβα*, *λάμια*, *κτλ*. *καὶ λάβυρος* = *βόθυνος* (*'Ησύχ.*). *πρβλ.* *λτ.* labrum (*τάφος*), *μ'*. *λτ.* labellum, lavellum (*λάκκος*), labs (*χύτρα*), *Γρμ.* Löffel (*κοχλιάριον*. *κτλ. βλ. καὶ* Ло́гъ.)

Ла́бжуся (*κολακεύω*) *ὡς ἀπὸ τῆ* Ла́бжу = *λάψω*, *λάπτω* (*λείχω*), *λίχω*, *γλίχω*, *συνήθ*. *γλίφω* (*φ* = *χ*.) *ὅθεν καὶ γαλίφος ὁ κόλαξ*, *καὶ γαλιφεύω* = *κολακεύω*, *παρενθ*. *α*. *ὡς καὶ*, *γλάφω* (*γολάφω*, *κολάφω*) *κολάπω*-*πτω*, *κτλ. βλ* Лобза́ю.

Ла́връ, *τὸ λτ.* laurus, *δάφνη* [*ἴσως*, *λαῦρος*, *λάβρος? κατὰ τὸ Σ. λαύρα* = *θέρμη*, *καῦσις· καὶ παρὰ Πελοπον. λαυρὸς* = *φλὸξ* (*ἐκ τῆ λάω*, *λάFω*, *λαὔω*, *λάβω*, *λάπω*, *λάμ-*

πω = λαμπρὸς). καὶ ἡ δάφνη δὲ δοκεῖ = δαύνη, δαυνὴ, δαυνὸς = καυςὴ· ὡς καιόμενον τὸ φυτὸν ἐπὶ θυσιῶν. Εἰσὶ δ' οἳ τὸ δάφνη παρὰ τὸ δάπτω φασὶ, διὰ τὰς δαφνηφάγες δῆθεν μάντεις καὶ ποιητάς· ὡς ἂν εἴποιεν καὶ τὸ laurus=λαυρὸς, λάβρος (λάπτω). Ἴσως δ' ἄν τις καὶ δαφάνην εἶναι φίσει τὴν δάφνην. ἐκ τῦ δαφάνης = λαφάνης (δα, λα-φαίνω), ὡς καὶ, λάφνη=δάφνη, Αἰολικ. κατὰ τὸ, δάκρυμα, lacryma.].

Лагáю, Лагáти, ὅθεν Возлагáю. βλ. Лож.

*Лáгеръ (ςρατόπεδον) τὸ Γρμ. Lager, συγγν. λόχος, λέχος, ἐκ τῦ λέγω-γομαι, Γρμ. legen, liegen (Lage, Loge) Лежу̀, κτλ. λτ. (lego) lectus (λέκτος)=λέκτρον. ὁ Ἡσύχ· ἔχει καὶ λάγρος, ἢ λαγρὸς = κράβατος (ἴσως, ὡς τὸ, λέκρος, λέχρις, λέχριος.)

Лагу́нъ (κίςη ἀλείμματος, ἐπὶ ἁμαξῶν) λάγυνος, λάγηνος. Σ. λαγύνα, Γρμ. Lägel, λτ. lagena, καὶ lagoena· (συγγ. λαγὼν· ἐκ τῦ λάκω, λάχω = σκάπτω διὰ τὸ κοῖλον· ὡς, κύμβη, σκύφος, ἐκ τῦ κύβω=κάω,' κάβω, κάπτω, σκάπτω.

Лáдъ βλ. Лáжу.

Лáдія, Ῥωσσ. Лодья̀ (πλοιάριον, σκάφη. ὑποκορ. Лóдка=ἐφόλκιον, Σ. βάρκα.) συγγεν. λαχὴ (λαχία, λακία, κ = δ, λαδία· ὡς, κύκνος, κύδνος) παρὰ τὸ λάκω, λάχω=σκάπτω κοιλαίνω [διὰ τὸ κοῖλον· ὡς καὶ καράβιον. βλ. Корáбл· καὶ λέμβος, λήμβων, ἐκ τῦ

λέπω (λάπω, γλάφω), λέβος, λῆβων. μήποτε δὲ καὶ λέβιον (λέμβιον), λέδιον (β=δ) Ладія;] ἢ (λάζω) λάδιος. (λαίδιος, λαιδρός=λαβυρός, λαμυρός=βαθύς); παῤβ. Γερ. Lade (κιβωτός, κάψα).

Ла́дога (λίμνη Ῥωσσίας, ἀφ' ἧς ἐκρέει ὁ τῆς Πετρουπόλεως ποταμὸς Νευᾶς)· τολμηρὸν ἂν δόξειεν, εἴτις παραβάλοι τὸ Λάδων (ποταμὸς Ἀρκαδίας· ὡς ἐκ τοῦ λάδος, λάδας, γεν. λάδαο. καὶ λάδαος, λάδοϜα). ἔστι δὲ τὸ Λάδων καὶ Λάδας, πιθανῶς, συγγεν. λαίδιος (λάδος, λάζω) = λάβρος. Ἐκ τοῦ αὐτοῦ λάζω (λαίζω) καὶ λαῖτμα, λαῖθμα=λαῖσμα (vorago), ὡς „ λαῖτμα θαλάσσης. ἀλλὰ καὶ τὸ λτ. lacus (λίμνη) = λάκος, λάκκος = βάθος. [ἢ δ' οὖν Ла́дога φαίνεται λέξις φιννική, εἴ γε Φίννοι πρῶτοι τὴν χώραν ἐκείνην ᾤκουν. ἢ συγγεν. Ла́дъ, Ла́зу. διὰ τὸν ἦχον? ὡς τὸ Γρμ. See. βλ. Езеро.]

Ладо́нь (παλάμη) μεταθ. ὡς ἐκ τοῦ (Доло́нь) Дло́нь (βλ. Дла́нь)· ὡς, λακέρυζα, κελάρυζα —. τὸ δὲ Ла́донъ=λᾶδον, λήδανον, λάδανον, λτ. ladanum.

Ла́жу (συμφωνῶ. ἐπὶ μουσικῆς) λάζω, ὅθεν λαλάζω, ἀλαλάζω, κτλ. Ладъ (συμφωνία) λάδος (ὡς ἐκ τοῦ λάζω, λάσδω, λάδδω) ἀντὶ λάγος = λάλαγος (λάλαξ), λαγή, λαλαγή, ἀλαλαγή. (λάω, Ла́ю, λάκω, λάσκω.)

Ла́йно (κόπρος) ἐκ τοῦ Ла́ю=λέω, ἀντὶ ὀλέω, λτ. oleo, (γ=δ· ὡς, Ὀδυσσεύς, Ulysses) ὀδέω

= ὄδω, ὄζω, ὄσδω (Λεττ. ohschu), ὅθεν ὀδαλέος, ὀζαλέος, ὄζαινα (ὀζάινος, ὄδαινος, ὀδάϊνος) ὀλάϊνος - νον (ἀποκοπ. τῦ ο, λάϊνον. βλ. Лόно). τὸ δὲ 'Ρωσ. Говнὸ (σκάρ)=Ϝόφνος (γόφνος, ὄφνος, ἀντὶ ὄθνος, μεταθέσ.)=ὄνθος (βλ. Вонѧ καὶ Мотыль)· ὡς καὶ ὄμφα=ὀσμὴ (Λάκωνες), ὅθεν ὄφα (ὄδω, ὄθω, θ = φ, καὶ φ=χ) ὄχα; Ϝόχα, τὸ τῆς Σ. βόχα (ὀσμὴ, καὶ ἰδίως οἴνυ, καὶ οἰνωμένων, κτλ.)

Лáкомый, Лáкомъ (λαίμαργος) λίχαμος, λίχμος, λίχανος [οἷον λέχαμος, λόχαμος, λάκαμος· ε = α· κ = χ· μ = ν. Ἐκ τῦ λείχω λίχω (ὡς λείπω, λίπω) λίχανος, ὅθεν λίχνος, λιχνάω· καὶ (λίχαμος, λίχμος) λιχμάω, λιχμάζω. τὸ θέμα, λίω· συγγ. λέω (λεύω) λέπω, λάω (λαύω) λάπω, λάκω· ὅθεν „ λακέμεναι, φαγέσθαι ('Ησύχ.)· καὶ τὸ λέχω ἀντὶ λείχω εἴη ἂν λάχω, αἰολικ· ὡς, λακάνη = λεκάνη]. συγγεν. Локáю.

Лáкоть, 'Ρωσσ. Лόкоть (πῆχυς, ἀγκὼν.) = λοξὸς. [λόκος, ὡς λίκος, λίξ, ἐκ τῦ λέγω, λύγω, λυγίζω, λυγὸς, ὡς ἐπικαμπὴς καὶ ἀγκύλος ὁ ἀγκὼν· καθὰ καὶ τὸ ὠλένη, ὦλος ἐκ τῦ ὖλος = κυρτὸς, καμπύλος· καὶ αὐτὸ τὸ ἀγκὼν, ἄγκος, ἀγκάλη, ἐκ τῦ ἄγω ἀγνύω· καὶ τὸ Γρμ. Locke (κίκιννος, βόστρυχος) συγγενὲς τῦ λοξὸς]. βλ. τὰ συγγεν. Лόгъ, Лѧкій, κτλ.

*Лáкъ, μσ. λτ. lacca, Γλ. laque, λάκος, ἡ

λάκκος χρωμάτιννος; (Αἰλιν. περίπλ. 'Ερυθρ.) λέξις ξενική.

Ла́лъ (ἄνθραξ, ἡ λίθος.) ξενικόν. ἢ συγγεν. λάω, λεύω (λάμπω· ὡς ἐκ τῦ λύκη, λύγη, λύγδος.) τὸ δὲ λάλλη (ψηφὶς), ψευδὴς παρήχησις.

Лани́та (σιαγὼν) ἴσ. συγγεν ὠλενίτης, ὠλενῖτις, ὠλενίδα, ὠλενὶς (ἐκ τῦ ὦλος, οὖλος, ὅλος, = ἀγκὴ, καμπή· ὡς καμπτὴ ἡ σιαγὼν. οὕτω καὶ τὸ γνάθος ἐκ τῦ γνάω, κνάω· καὶ τὸ γένυς ἐκ τῦ γνύω· καὶ ἐκ τῦ γάμπτω γαμφηλὴ, κτλ.) βλ. Ло́но.

Ла́нь (τραγέλαφος. Δευτερ. ιδ, 5. καὶ ἔλαφος) ἐ-λὰν, ἐλὴν, ἐλὸς, ἔλας, ὅθεν ἔλαφος. συγγεν. Еле́нъ, καὶ Ло́съ.

Ла́па, βλ. Сла́бый.

Лапша̀, (εἶδος ῥοφήματος, φύλλα, Σ. πέττυρα κοπτά. τὸ συνήθ. μάτζι, ἐκ τῦ μάσσω.) συγγεν. Ле́пестъ, Ло́паю, λάπτω, λάψω (λάψα) λάψις, λαπτόν. Ἕτερον δὲ ἡ τῆς Σ. ἐν Θετταλ. χλαψά, χλαψιὰ (= εὖςρα, ςάχεις σίτυ νεαρῦ φρυκτοί) παραμορφωθὲν διὰ τῦ λ. ἐκ τῦ καψιὰ, καυσιὰ (καύω)· ὡς καὶ (ἐκ τῦ ἕψω, ἑψανὸς) παρὰ Πελοπονν. ψάνη = εὖςρα, ἐκ τῦ εὔω (ἕφω) ἕψω.

Ла́рь, Ларе́цъ (κιβωτὸς, κιβώτιον) λάρος, πρωτότ. τῦ λάρυξ (λάρυγξ) λάρναξ, λάρκος, κτλ. (τὰ πάντα κοιλότητος σημαντικά. παρὰ τὸ λάω, ὅθεν καὶ λάμος, λαιμὸς, λάμια, κτλ.) 'Ιολ. lar.

Ласкаю (*κολακεύω*, *θωπεύω*) *λασκάω* „ *λασκάζει*, *θωπεύει* (*'Ησύχ.*)· *ἐκ τῦ λάσκω* (*λαλῶ*) *λάκω*, *λακέω*, *λτ.* laceo, illiceo, alliceo, lacto, delecto, oblecto. (*ὡς ἐκ τῦ κάλω*, *καλῶ*, *κηλέω*.). *τὸ δὲ Βοεμ.* Ласка = *ἔρως*, *ἀγάπη· καὶ Πολων·* = *χάρις*, *εὔνοια· καὶ τὸ Σβεκ.* älska = *ἀγαπῶ*, *κτλ. ἀλλὰ τούτων ἡ σημασία κλίνει πρὸς τὸ λείχω* (*λέχω*, *λάχω*) *λίχω*, *λίχομαι*, *γλίχομαι. ἴσως ἂν καὶ ἐκ τῦ λέχω*, *λάχω* (*λάξω*, *λάσκω*, Ласку) Ласкаю· *ὡς τὸ Σ. γαλίφος*, *γαλιφεύω. βλ.* Лабжуся.)

Ластица, Ласточка, *ὑποκορ. τῦ* Ласта (*χελιδών*) *συγγεν. λάσκω* (*λαλῶ*, *ἠχῶ*) *λάζω* (*λαλάσδω*) *λάξις* (*λάσκη*, *σκ*=*στ*)· *ὡς* (*λάλω*) *λάλαξ*, *λάλος· καὶ ὀλολύζω*, *ὀλολυγὼν* (= acredula)· *καὶ ἀηδὼν ἐκ τῦ ἀείδω. τὸ δὲ χελιδὼν ἴσως ἐκ τῦ χελίζω* (*χέλυς*, *χελύζω*, *χελυνδὼν*, *λ* = *ρ*, *λτ.* hirundo). *συγγ.* Лазу, Лаю.

Лаю (*ὑλάω*, *ὑλακτῶ*) *λάω*, *πρωτότ. τῦ λάκω λάζω*, *λάλω· ὅθεν*, *λαλέω*, *λαλάζω*, *ἀλαλάζω*, *λύζω*, *ὀλολύζω. κτλ. 'Εκ τῦ λάω*, *λάζω*, *λάσδω* (*λάδσω·* *σ* = *ρ*) *φαίνεται καὶ τὸ λτ.* latro (*ὑλακτῶ*). *Τὸ δ' αὖ ὑλάω γίνετ. παρὰ τὸ ὕλω*, (*ὕω*), *Βελγ.* huilen, *Γρμ.* heulen = *λτ.* ululo = *ὕλω* (*διπλασιασμ. ὑλύλω*), *Γλ.* urler. *ὑλάζω*, *ὑλάσκω*, *ὕλαξ*, *ὑλακή*, *ὑλάκτης*, *ὑλακτέω*, *μεταθ. ἀλυκτέω· ὅθεν καὶ τὰ*

νῦν ἐν συνηθ. ἀλυκτῶ.) τὸ δὲ Κτσξ. leuen, 'Ολλ. loeyen = ὠρύεσθαι, ἐπὶ λέοντος.

Лаю̀, βλ. Ла́йно.

Ла́ятель (ἐπίβυλος, ἐνεδρευτὴς) ὡς ἀπὸ ῥήματος, Ла́яю (λαάω) λάω=λεύω (βλέπω). βλ. Ле́сть.

Лгу̀ (καὶ Лжу̀,=ψεύδομαι), Γρμ. lügen, Γοτθ. liugan, Σβεκ. καὶ 'Ισλ. liuga, κτλ. λύγω, λυγόω (λοξόω, λοξῦμαι, ςρεβλὰ καὶ ὀκ ὀρθὰ λαλῶ). 'Ο δὲ κλεινὸς Adelung παραβάλ. πρὸς τὸ lügen καὶ τὸ λόγος (μῦθος) ἐκ τῦ λέγω, λέξω (λέγσω, λέχσω), ὅθεν καὶ ἡ λέσχη, καὶ ὁ λέσχης (φλύαρος).

Ле́бедь (κύκνος) Σερβ. Лабудь, Κροατ. labud, κτλ. ἀρχ. Γρμ. alp, alap, elpiz, Σξ. olb, elps, elbsch. ἐκ τῦ ἀρχαίυ elbis 'Ισλ. elf, Νορβεγ. elv (ἔλβις, ἄλβις, ποταμὸς) καὶ Σλαβ. Лаба = Elbe, ὁ Ἄλβις, λτ. Albis (Γερμαν. ποταμὸς). τὸ δὲ Ἄλβις ἴσως συγγενὲς τῦ ἑλληνικῦ Ἀλφειός· (τῦτο δ' ἔςιν εἰπεῖν, ὅτι παρὰ τὸ ἄλφω = ἄλθω = ἄλδω; κατὰ τὸ „ ὕδωρ ἀλφεσίβοιον, καὶ ἀλπνὸς, κτλ.)· ἢ καὶ τὸ elbe, Albis (ὁ ποταμὸς) καὶ τὸ Лебедъ = albus, ἀλφὸς (μεταθ'. labus, Лабудь, Ле́бедь). παῥβλ. τὸ Φοινικ. καὶ 'Εβρ. laban = ἐλευκάνθη, albus fuit· ὅθεν καὶ ὁ Λίβανος, τὸ ὄρος, ὡς λευκὸν ἐκ χιόνος, fidum nivibus, (Τάκιτ. Ε. ς. βλ. καὶ Στράβ. ις. σελ. 756.). τῆς αὐτῆς παραγωγῆς καὶ ἡ λίβανος, ὁ λιβανωτὸς. Συν. λιβάνι,

Ливáнъ. οὐ παρὰ τὸ, λίβω, λείβω. βλ. 'Ρείμ. λ. λίβανος.

Лебедà, Σερβ. Лободà, συνήθ. λοβοδιά, chenopodium rubrum, καὶ atriplex hortensis (ἴσ. συγγεν. λείβω, λειβάδιον, οἷον λειβαδία, ὡς ὑδροχαρὲς τὸ φυτόν.) βλ. Левáда.

Левáда, λειβάδα,-βάς, λιβάδιον (λειμὼν, λείβηθρον, pratum). βλ. Лыва.

*Левкáсъ, λευκὰς, λεύκωμα (ζωγραφικ.) καὶ Левкáшу, λευκάζω. καὶ

*Левкóй, λευκόϊον. (βλέπε ευ = εβ.)

Лéвъ, λέϜ-ων, λείων, λῖς. λτ. leo, Γλ. lion, Γρμ. Löwe, ἀρχ. leu, κτλ. καὶ 'Εβρ. laisch. Львúщъ, ὑποκρ. Львúчищъ, λεοντιδεὺς (ὡς λυκιδεὺς, κτλ.) 'Ρωσ. Лéвикъ, σκύμνος λέοντος = λεοντίσκος (καὶ οἷον ἐκ τῦ λῖς, λιϜΐσκος).

Лéгкій, Легóкъ (ἐλαφρὸς) ἐ-λαχὸς (α=ε, καὶ χ = γ, λεγὸς) = ἐλαχὸς = ἐλαφὸς, (φ = χ ὡς ὄφις, ὄχις, ἔχις.) ὅθεν (ἐλαφερὸς) ἐλαφρός. (ἔςι δὲ καὶ τὸ ἐλαχὸς - χὺς, καὶ τὸ ἐλαφὸς ἐκ τῦ ἐλάω), ἢ λαιφὸς (λαιχὸς) ἐκ τῦ λαιϜὸς, λαιὸς = λεῖος· ὅθεν τὰ λατιν. laivis, levis. (ἐκ τῦ λαιὸς, ὁ λεῖος, καὶ τὸ ἔλαιον, προσθέσει τῦ εὐφωνικοῦ ε). παράβ. Σκρ. lesga, leka, Γαλ. leger, Γρμ. leicht, τῦτο δὲ ὁ σοφὸς 'Ρείμερ. συγγενὲς εἶναι οἴεται καὶ τῦ licht, (βλ. λ. φαικὸς). ὡς καὶ τὸ λεῖος (λέω), συγγεν. (λέω, λεύω) λευκός.

Лежу̀ (*κεῖμαι· ж = γ*) *λέγω = λέγομαι.* (*ἐκ τȢ λέγω, τὸ Ἰωνικ. λέγω, κυρίως = λέγομαι, κατακλίνομαι, κάθημαι· ὅθεν = παύσμαι.*) *Γρμ.* legen, liegen, *κτλ. καὶ τὸ λτ.* lectus = *λέκτρον, ὡς ἐκ τȢ* lego. *βλ.* Ложу̀.

Ле́дъ (*πάγος*) *Λιθ.* liadas, *Λεττ.* lieddus, *λεά-δα, λεδὰ* (*Ἡσύχ.*) = *λέα, λαιὰ* (*πέτρα· ἐκ τȢ λάας, λᾶς*), *συγγεν.* (*λαιὸς, λεῖος, λισ-σὰς, λισσὸς, λὶς, λίω, λίθος*) *λιττὸς* (*βλ. Ῥείμ. λ. λῖς*).

Лека́ло (*ἐγκοπεὺς, ὄργανον λιθοξοϊκὸν*), *ὡς ἀπὸ θέματος* Леку̀ = *λάκω* (= *ῥήσσω, κό-πτω*) *λακερὸν, συγγεν.* Лока́ю, Лочу̀ (Локу̀, = *λάκω = λάπω, λάφω = γλάφω, γλύφω*) *ὡς καὶ, γλύφανον, γλυφεῖον.*

Леле́ю (*καταψάω, συνήθ. χαδεύω*) *συγγεν. λειόφ* (*ἐκ τȢ λεῖος, λέω, λίω· οἷον λιλίω, λιλέω, διπλασ· ὡς, ἐκ τȢ λάω, λαίω, λιλαίω, ὅθεν τὸ τῆς Σ. παρὰ τοῖς κατὰ τὸν Πόντον, λελεύω = λίσσομαι, λιτανεύω, δέομαι*).

Ле́мехъ, Ле́мешъ (*ὕννις*) *συγγεν. λάμιος = πρίων* (*Ἡσύχ.*). [*λάω, λίω, ὅθεν λίμω, ἀφ' Ȣ ἔμεινε τὸ λτ.* lima (*ῥίνη*). *τὸ δὲ λίω=λέω, λέϜω* (*λέβω*), *λέπω· ὡς καὶ λάω, λάϜω* (*λάβω*), *λάπω, λαπάζω, λάφω, γλάφω· καὶ λύω, λύϜω, Ϝλύφω, γλύφω, κτλ.* (*ἐπὶ κοιλώσεως, καὶ γλυφῆς, καὶ ῥήξεως*). *Τοῦ λίμω, συγγεν. τὸ* Ломлю̀ (Лому̀) *οἷον λάμω* (*α = ο*) *ἐκ τȢ λάω· ὅθεν καὶ λάμος, λάμια* (*βόθρος*, vo-

rago, lamia), καὶ, τὰ λάμια = γῆς χάσματα, fauces· καὶ νῦν παρὰ τοῖς Ποντικοῖς ἐν τῇ Χαλδίᾳ καὶ Τριπόλει, λάμιν = ὄρυγμα, μεταλλεῖον, τὸ ἄλλως, λαγοίμιον (λαγὸς οἶμος)· ἢ λαγύμιον ἀντὶ λακύμιον (ὡς ἐκ τῦ λάκος, λάκκος), καὶ Τȣρκ. lagim.]

*Λéнтie, λέντιον, τὸ λτ. linteum· ὅθεν Λéнma (ταινία). Ἐκ τῦ λῖνον, λίνεον, λινῦν.

Λéнъ, λῖνον, λτ. linum. Γλ. lin, Γρμ. Lein.

Λéпесть (ῥάκος, ῥῆγμα, φύλλον ἄνθȣς.) λέπος, λεπὶς (λέπω, λεπίζω, οἷον λεπιςὸν) συγγ. Λόпаю.

Λепечỳ (τραυλίζω), Γρμ. lispeln, Σβ. lispa, Δαν. lespe, κτλ. λαπίζω, λάπτω, λάπω, ὡς τὸ Γρμ. (labbern, schlabbern) labbrig, schlabbrig = nugax, nugari (φλυαρεῖν). κατὰ τὸ, plappern, plapprig· ἀπὸ τῦ ἤχου δηλονότι τȣ̃ ληρῦντος, ὅθεν καὶ ἐπὶ τȣ̃ τραυλίζοντος τὸ λαπίζειν. Πρὸς τὸ Γρμ. lispeln, ὁ Αδελύγγ. παρέβαλ. τὸ „ λισπὴ γλῶσσα (Ἀριςφν.) ἐκ τῦ λίσπος = λισσὸς, λεῖος, τετριμμένος. (βλ. Ῥείμ. λαπιςὴς, καὶ λάβρος).

Λéсть (δολιότης, πανȣργία, κολακεία) λίσθος (λέσθος. ι = ε, ὡς, λέκρος, λίκρος· λέγνη, λίγνη· μίνθα, μένθα, mentha · linteum, λέντιον). ἐκ τῦ λισσός, λίσπος, λίσφος, ὅθεν ὄλισθος (φ = θ), καὶ ὄλισβος, καὶ λίσβη, ἀλίσβη=ἀπάτη. τὸ δὲ λισσὸς παρὰ τὸ λίω, λεῖος, λίς. (βλ. Ῥείμ. λ. ὄλισθος).

παῤῥβλ. τὸ Γρμ. List, Γοτθ. liutei. τῦτο δὲ κατά τινας παρὰ τὸ Lauscheu = λαύσσειν, λεύσσειν· (βλ. Adelung). Льщу̀, Σλαβ. Лщу̀ (κολακεύω, ἀπατῶ) λίσσω (λίζω), λισσόω (ὅθεν λίσωτρον, λίςρον) καὶ, λίσθω, λισθέω (ὄλισθος, ὀλισθέω). τὸ ζ = σδ = σθ, Ἰωνικ. ὡς, λάσθω = λάσδω = λάζω, κτλ. οὕτω καὶ λίζω, λίσθω, λίσθος (ὄλισθος) Лéсть, List. βλ. Лúсть.

Лечу̀ (ἵπταμαι) λέτω = λάτω, λατύω, λατύσσω „ λατύσσει, πτερύσσεται, νήχεται, τινάσσει. Ἡσύχ. (ἐκ τῦ λατάσσω, συγγεν. λάκω καὶ λάζω=λακτίζω. διὰ τὴν κίνησιν τῶν ἱπταμένων). Ἐκ τῦ λάζω, λάκω, λακέω, καὶ τὸ Σ. παρὰ τοῖς Ποντικοῖς (ἐν Τριπόλει) λαγκεύω=πηδῶ, (ὡς καὶ λάχτα, παρὰ τοῖς αὐτοῖς, ἡ λάκτισις, λάκτη, λάγδη). καὶ τὸ παρ' ἄλλοις λακταρῶ = ἀσπαίρω, (ὡς ἐκ τῦ λακτηρὸς = λακτικὸς)· ἀλλὰ καὶ τὸ Θετταλ. λαγκάζω (ἐπὶ ςρεμμάτων καὶ ἐξαρθρώσεων· οἷον ” ἐλάγκαξε τὸν πόδα, τὸ δάκτυλον) ἐκ τῦ λακάζω, λακέω (κόπτω, ἀράσσω)· ἄλλο δὲ τὸ λαγγάζω, καὶ λογγάζω (βλ. Лу́гъ, καὶ Ῥείμ. λ. λάκω). τὸ Лечу̀ φαίνετ. συγγ. τῦ Лѣзу.

Лéщадь (πλὰξ λεία καὶ λευκὴ) λισσάδα, λισσὰς. ἐκ τῦ Лщу̀. βλ. Лéсть.

Ли (ἆρα; μή; ἐρωτηματ.)=νὴ (ὡς τὸ παραπληρωματ. ἐγώνη, ἐμένη). ἢ μᾶλλον=νὺ, νὺν, λατ. num; (λ = ν· ὡς, Боль, πόν-ος. λίτρον,

νίτρον. κτλ.). Ἐν τῇ διαλέκτῳ τῶν νῦν Λακώνων, ἢ Καυκώνων (Τζακώνων) τίθεται τὸ νὺ συνεχέςατα μετὰ τῶν ῥημάτων ἐπὶ ἐρωτήσεως, ὡς καὶ παρὰ τοῖς Σλάβοσι καὶ Ῥώσσοις ἀείποτε τὸ Ли· οἷον, ἐνέντσερε νυ; (τὸ ρ = ς, λακωνικῶς = ἔνεγκες, ἤνεγκες;)· δάτσαρέ νυ; (δάκαρ; ἐδάκας = ἐδάης = ἐκάης, συνήθως ἐκάηκες; ἐκ τῦ δαίω). ποίτσερέ νυ; (ποίησερ=ποίησας, ἐποίησας;) Здѣлали? κτλ. ὡς τὸ „τί νυ μ' ἔτικτες; = τί μ' ἐτικτέςνυ; καὶ τὸ νὺν, χωρὶς ἐρωτηματ· „εἶά νυν, φέρε νυν, σπεῦδέ νυν, ἔπεινυ, τῷ ὄνυ, κτλ.

Лижу̀, λίζω = λίγω (ζ = γ· ὡς, ὀλίζον, ὀλίγον.) = λίχω, λείχω, καὶ λίγω, λίγγω, Λτ. lingo, Γρμ. lecken (Οὐλφίλ. laeguan), Γλ. lecher, Ἰτ. leccare, lecco, Λετ. lohku, Λιθ. laku, Καρν. lishem, Σλοβακ. lizem. κτλ. καὶ Ἑβρ. lachach, lak. — Лижа́ніе (λειχὴ) λιχανεία (ὅθεν λιχνεία), κτλ. ἐκ τῦ λίχω, γλίχω, τὸ Σ. γλίφω (φ=χ. βλ. Ла́бжуся).

Ли́къ, λίκη, λάκη, (φωνὴ χαρᾶς· καὶ αὐτὸς ὁ τῶν εὐφραινομένων καὶ ψαλλόντων χορὸς). παρὰ τὸ λίκω, λάκω, ληκάω, Лику́ю (εὐφραίνομαι, ὀρχῦμαι) „ληκᾷν τὸ πρὸς ᾠδὴν ὀρχεῖσθαι (Ἡσύχ.). Καὶ τὸ Γρμ. lachen (γελᾷν)=λάκεν, λακεῖν (ἠχεῖν), ὡς ἐκ τῦ ἤχυ τῦ γέλωτος· καθὰ καὶ τὸ (χλίζειν) κιχλίζειν (kichern)· καὶ τὸ (χάζω) καχάζω, καγχάζω, cachinor, κτλ. βλ. Ῥειμ. λ. γλαύσσω.

Ликъ, καὶ Лицè (πρόσωπον, ὄψις) συγγεν. λύκη, λύξ, λυκὸς, (ἐκ τῦ λύω, λεύω, λεύσσω, ὡς λεῦσσον, λευςὸν), Γρμ. Ant-litz. (ἐκ τῦ ἀρχαίε litan = λεύσσειν). παρ Οὐλφίλ. luz, ludia (ὄψις), Ἰσλ. lit. κτλ. Οὕτως ἐκ τῦ φάω, φάξ (φάκκες = ὀφθαλμοὶ) τὸ λτ. facies (= ὦψ, πρόσωπον). βλ. καὶ Лучъ.

*Лилія (κρίνον) τὸ λτ. lilium, λίλιον = λείριον (λ = ρ· ὡς κρίβανος, κλίβανος· αλφὸς, ἀρφὸς, ἀργὸς.), Γρμ. Lilie, Γλ. lis, Ἰτ. giglio, κτλ.

*Лиманъ, λιμὰν = λιμὴν· ὅθεν καὶ τὸ Τυρκ. liman, iliman.

*Линія, Линея, τὸ λτ. linea (γραμμὴ) Γλ. ligne, Γρμ. Linie, ἐκ τῦ λινέα (ἐλλειπτ. χορδὴ, σειρὰ), λίνεος, λτ. lineus, (λῖνον)· ὅθεν, Линейка (εἶδος ὀχήματος ἀςεγάςυ, ἀπὸ τῦ κατὰ λινέαν (γραμμὴν, σειρὰν) καθῆσθαι τὸς ὀχυμένυς ἀντινώτυς ἑκατέρωθεν (οἷον λινεακή).

Линяю (τριχοῤῥυῶ. καὶ ἐπὶ χρωμάτων ἐξιτήλων=ἐξαλείφομαι) συγγεν. λει(ν)όω, λειόω, λεῖον, λισσὸν ποιῶ. Ἔςι δὲ καὶ λεγνεύω (συνήθ. λιγνεύω) = ἰσχναίνω, -νομαι· καὶ λεγνὸς (λιγνὸς) = ἰσχνὸς, ὠχρὸς = λειρὸς (Ἡσύχ.). τὸ δὲ λίνω (ὅθεν ἀλίνω, ἀλείνω, λτ. lino, Льну) = ἀλείφω. ὅθεν καὶ ἀλινὸν = ἀμαυρὸν (Ἡσύχ.). Ἐκ τῦ λίω, καὶ τὸ λίπω, λείπω (λείφω, λίφω, ἀλείφω), καὶ τὸ λίνω,

καὶ τὸ (λεῖος) λειόω, λισσὸς, λισσόω, κτλ. πρόσθες καὶ τὸ λτ. livo (λίϝω, λίφω) ὅθεν livisco, oblivisco,-scor (=ἐπιλανθάνομαι, παρὰ τὸ λάθω, λήθω, ὅθεν τὸ lateo, λαθέω) ὡς ἐκ τοῦ oblivo = ἀπαλίφω· ἐκ μεταφορ. τῶν ἐξαλειφομένων διὰ τῆς τρίψεως. Παρὰ τὸ λίπω, λείπω (ἀλείφω) καὶ τὸ λείπω, λίπω, λίμπω, λιμπάνω (ἀφίημι, κυρίως, κολλῶ = Γρμ. bleiben = be-leiben, leiben, liben, Γοτθ. lisnan, Ἀγγ. leave). ὅθεν πάλιν μεταφορ. τὸ Забываю (ἐπιλανθάνομαι. Забываю) = ὀπίσω γίνομαι, ἀπογίνομαι, ὑστερῶ, λείπομαι (ἐκ μεταφορᾶς τῶν ἀπολειπομένων καὶ ὑστερούντων τινός. οἱ δὲ μνημονεύοντες συντρέχουσι καὶ ἀκολουθοῦσιν οἷς ἐν μνήμῃ φέρουσιν· ὁρμὴ γάρ τίς ἐστι καὶ μένος ψυχῆς ἡ μνήμη). βλ. Бываю.

Ли́па (φιλύρα) συγγεν. λεπὸς, λεπὶς, λέπυρον = liber = βίβλος, βύβλος, ὁ φλοιὸς τῆς φιλύρας· ὡς καὶ φιλύρα πάλιν = liber, βύβλος = λεπὶς, φλόος, φλοιὸς δένδρου, Γρμ. Bast. βλ. Болонъ.

Ли́пкій, Ли́покъ (γλίσχρος, κολλώδης) λίπος, λιπὸς = λιπήεις, λιπαρός. Ли́пну (κολλῶ· ὡς ἐκ τοῦ Ли́пу) λίπω, λίφω, λείφω, ἀλείφω, συγγεν. Льну́. βλ. καὶ Линяю.

Ли́стъ (φύλλον) λίσθον = λίσφον, λίσπον. ἢ λίψ (λίς· ψ = πσ = στ· ὡς ψιὰ, στία, Γρμ. Stein· ψάρ, staar, κτλ.), ὅθεν λίσπος, λίσφος

= λεῖος (λίω) ὡς ἐκ τῆς λειότητος· καθὰ καὶ Γρμ. Blatt = πλατὺ, πέταλον. τὸ δὲ Λεττ. lapas (φύλλον = Γρμ. Laub, Γοτθ. lauf) = λέπας, λέπος, λεπὶς. [Ἐκ τοῦ ὕω (ὅθεν ὕλη, ὕλα, ὕλϝα, λτ. sylva, ὡς καὶ [ὕλον] σύλον, χσύλον, ξύλον· ἢ τοῦτο ἐκ τοῦ ξύω) μετὰ τοῦ ϝ, τὸ φύω, ὅθεν φύλλον, λτ. folium. φυλλὶς, κτλ. ἀλλὰ τὸ Лисшь οὐδὲν πρὸς τὸ φυλλὶς, φυλὶς, ὑλίς]. Листопа́шъ παρὰ τοῖς Σλάβοσιν ἀρχαίως ὁ Νοέμβριος = φυλλοπετὴς, φυλλοβόλος· διὰ τὰ φυλλοῤῥοοῦντα δένδρα. βλ. Ле́сшь.

Ли́съ, Лиса̀ (ὑποκορις. Лиси́ца, ἡ ἀλώπηξ.) συγγεν. λὶς (ὁ λέων). οὐ γὰρ = λὶς, λισσὸς (μεταφορ. πανοῦργος· ὡς τὸ, κερδώ. [Ἐκ τοῦ λάω, λέω (λεύω, λεύσσω) ὁ λέων· καὶ ἐκ τοῦ λύω, (= λέω, λεύω) λύκη, ὁ λύκος. ἐκ δὲ τοῦ λίω (= λέω, λεύω) λὶς, πάλιν ὁ λέων, καὶ αὐτὸ τὸ Лисъ, ἡ ἀλώπηξ. ἴσως ἀπὸ τῶν γλαυκῶν καὶ χαροπῶν ὀμμάτων, καὶ τοῦ χρώματος· αἴθων γὰρ προσαγορεύεται ὅ, τε λέων, καὶ ἡ ἀλώπηξ (ἤτοι πυῤῥὸς, ξανθὸς, burrus, robeus, rubeus, rufus, ὡς τὸ Γρμ. brandgelb, feuerroth, gelbroth) διὰ τὸ λυκοειδὲς (λύκης = φωτὸς, lucis, Луча̀, ὅμοιον) τῶν τριχῶν. Αὐτὸ δὲ τὸ ἀλώπηξ, ἡ καὶ ἀλωπὼ (συνήθ. ἀλωποῦ) ἴσως ἐκ τοῦ λῶβος, λώβη, λώπη (λωβάω· ἤ, κατὰ Λεννέπ. λωπήσσω, ἀντὶ λοπίζω, λέπω· ὡς καὶ καφώρη ἐκ τοῦ κάφω, σκάφω).

ἢ μᾶλλον, παρὰ τὸ λοβὸς, λόπος, λῶπος (τὸ δέρμα· ὡς καὶ λέπος, λεπορὶς = λτ. lepus, oris, ὁ λαγὼς), λώπηξ (μετὰ τȣ̃ εὐφων α, ἀλώπηξ) λώπης, μεταθ. ὦλπης, Ϝόλπης, ὅθεν τὸ λτ. volpes, vulpes· καθὰ δὴ καὶ τὸ Βόлкъ, Ϝόλκος (ὖλκος, λύκος) καὶ, κ = π, λτ. lupus, μεταθ. ulpus, Fulphus, Γρμ. Wolf. βλ. Вόлкъ καὶ Рысъ (λύγξ.).

Ли́хва (τόκος ἄνομος δανείȣ) συγγ. Лихíй (λύγϜα, λυγὴ=πονηρία, βλάβη). τὸ Γοτθ. laihvan (δάνειον), leihvan (δανείζεσθαι) λήβω, λάβω (λαίβω), λαβὴ (ληϜβὴ) λῆψις? ὡς ἐκ τȣ̃ λαμβάνοντος τὸ δάνειον, ᾧ ἕπονται οἱ τόκοι, καὶ ὃ δίδωσιν ὁ διδὸς ἐπὶ τὸ λαβεῖν, ἀπολαβεῖν· καθάπερ ἐκ τȣ̃ διδόντος τὸ (δάω = δόω, дáю, δάνω, dono) δάνος, δάνειον.

Лихíй, Лíхъ (πονηρὸς, κακὸς) λοίγιος, λύγιος, λυγὸς, λυγρὸς (ἐκ τȣ̃ λύζω, λύγω, lugeo, luctus, luctuosus). ἢ πιθανώτ. λυγὸς (λοξὸς) λέκος, λὶξ, λίγξ. ὅθεν, Лихýю, λυγέω, λοξȣ̃μαι (δολιεύομαι, κτλ.) βλ. Лукà, Лгý.

Лишáй, λειχὴν (ш = χ.) Lichen.

Лишáю(ςερῶ)οὐκ=λήσσω(λήϊζω),ἀλλ' ἐκτȣ̃Лихíй.

Ли́шше (περιττῶς, μάτην) ἴσ. συγγεν. Лишý (λίζω) λισσὸν, συγγ. λοιπὸν, λειψὸν, λειψὸς, ἀντὶ λοιπὸς, λοιπὸν (λείπω). βλ. Лиши́ю.

Ли́шь, μόλις, καὶ ἀποκοπ. λίς? (ὡς λέως=τελέως. καὶ πάλιν, βρῖ=βριθὺ. λὶ=λίαν. κτλ. βλ. Στράβ. Η, 364.). ἢ λὶξ, λίγδην (λίζω, Лижý).

Лицѐ, *βλ.* Ли́къ.

Ліѝ, *καὶ* Льѝ, *λίω*, *καὶ λύω*. [*ἐκ τῶ λίω καὶ τὸ λίϜω, λίβω, λείβω, λτ.* libo. *ὅθεν* Излі́ю, Изливáю (Ливỳ,-вáю) *ἐκχέω* (*οἷον ἐκλειβάω, ἐκλείβω*)· *τῶ δὲ λίω, συγγεν. τὸ λύω,* Льѝ (*ἀναλύω, χωνεύω*)· *καθὰ πάλιν τῶ λίω, λίβω, λίπω* (*λίκω, π=κ*) *τὸ λτ.* liquesco, liquo, *ὅθεν καὶ τὰ ἴκμη, ἰκμὰς, ἰχῶρ = λτ.* liquor, *κατ' ἔκπτωσιν τῶ λ. ὡς, εἴβω=λείβω, ἰκμάω=λικμάω*]. Ли́вень (*ὄμβρος*) *λίβων, λείβων = λιμβρὸς* (*λιβερὸς*) *ὅθεν λτ.* imber (*ἐκπτώσ. τῶ λ. βλ.* Óгнь, *καὶ* Óбразъ).

Лобзáю, Лобызáю, Лобзỳ, (*φιλῶ τοῖς χείλεσι*) *λάψω* (*α σκοτεινὸν = ο, λοψῶ*) *λάπτω, λάπω, λαπίζω* (*Γρμ.* labben, schlappen), *ὡς τῶ φιλοῦντος οἷον λάπτοντός, ἢ* (*λάβοντος*) *λαμβάνοντος τοῖς χείλεσι. καθὰ καὶ τὸ φιλῶ, φίλος, πιθανῶς ἐκ τῶ φίω=φύω, φύομαι ἐμφύομαι* (*ι=υ· ὡς καὶ φύω=φίω, λτ.* fio). *τὸ δὲ λάπτω ἐκ τῶ λάω, λαύω, λάβω, λάπω, ὅθεν καὶ τὸ λτ.* lambo (*λάπτω*), *καὶ* labium (*τὸ χεῖλος*), *Γρμ.* Lippe, *κτλ. καὶ Περσ.* lab. *Ἐκ τῶ λαύω* (*λάβω*) *καὶ τὸ λάμος* (*λαιμὸς κτλ.*) *λάμιον* (*χάσμα*), *ὅθεν ἴσως* (*β = μ*) *τὸ* labium, *ὡς ἐκ τῶ χάω, χέω, τὸ χεῖλος* (*ἢ χαῖνον, καθὰ καὶ τὸ* Гýба, *γύπα, γύπη*), *ὀ γὰρ δήπε παρὰ τὸ λείχω, λεῖχος, καὶ μεταθ. χεῖλος, ὥς τινες ᾠήθησαν, κατὰ τὴν δοκῶσαν συγγένειαν τῶ λτ.* lambo *πρὸς τὸ* labium.

Лóбъ (*Σλαβ. κρανίον. 2, μέτωπον*) *λόβος = λόφος*.

Ловлю̀ (*θηρεύω. ὡς ἀπὸ τȣ̃* Лову̀) *λάβω* (*α = ο, λόβω*) *λάμβω, λαμβάνω. πρβλ. Σανσκρ.* labomi, laboo, laboti, *'Εβρ.* lafat. *κτλ.* Ловéцъ, Ловúтель (*θηρευτὴς*) *οἷον λαβητὴρ* (*ὡς λωβητήρ*) = *λήπτης· καὶ λάβης* (*κυνὸς ὄνομα, ἐκ τȣ̃ λάβω· ὡς καὶ δάκης ἐκ τȣ̃ δάκω. κατὰ τὸ Λάχης, λάχω, κτλ.*). *Ἐκ τȣ̃* Ловлю̀ *φαίνεται καὶ ὁ* Ловáть, *ποταμὸς ἐκβάλλων εἰς* Ильмень, (*βλέπε τὴν λέξιν.*) *οἷον Λαβάτης, Λάβης* (*διὰ τὴν ἰχθυοθηρίαν*). *ἢ τȣ̃το συγγενὲς* Ливáю (Лію̀)· *ὡς λειβὰς. ἢ λοϜάτας, λȣάτης, λȣ́της, = Λȣ́σιος* (*βλ.* Лýка) *ἐκ τȣ̃ λόω, λȣ́ω, λτ.* lavo, *συγγεν. λύω, λίω,* Лію̀.

Лóгъ (*κοίλωμα*). Лóгово (*γύπη, φωλεὰ θηρίȣ*). Ложку̀ (*κοιλόω*), *λάκω, λάχω* (*λάγω, χ = γ = ζ, λάζω, α = ο, λόζω*) *ὅθεν λαχὴ, λάκος λάκκος, λάκκη, λάγκη* (*ἀφ' ȣ̃ συνήθ. λαγκάδιον = κοῖλος τόπος ἐν ὑπωρείᾳ* = Лощúна) *καὶ λόγχη = λάκκος* (*λόχος, οἷον λόγοϜος*) Лóгово, Логъ. *Πρβ. Γρμ.* Loch, Lache, *λτ.* lacus, lacuna, *κτλ.* *Ἐκ τοῦ* Лóгъ (Лóжъ) Лóжица, *ὑποκορ. καὶ 'Ρωσσ.* Лóжка (*κοχλιάριον, λτ.* cochlear, *Γλ.* cuillère) *λάκος = λέκος* (*κοῖλόν, τι, τρυβλίον. οὕτω καὶ λέκη, λόκκη, λεκὶς* (*κ = γ λέγη, λόγη, -γίσκη,* Лóжа, -жка). *τὸ Γρμ.* Löffel *συγγεν.* (*λάφω, λάπω, λάβω, λέπω*)

λόπος, λοπὰς, καὶ λαβὶς (μικρὸν κοχλιάριον, συνήθ. λαβίδα). βλ. Лáбазъ, καὶ Ломлю.

Ложу̀ (κλίνω, κατακλίνω, κατατίθημι) λογῶ (λογέω, ἐκ τῦ λέλογα) λέγω, (ὅθεν Лагáю, Лагáши, Возлагáю, κτλ. α = ο). Лóже, λόχος = λέχος (λέκτρον). εἰς τὸ λόχος ἀνήκει καὶ τὸ λτ. locus (τόπος, ἐν ᾧ δηλονότι κεῖνται τὰ πράγματα), Γλ. loge, κτλ. Ложесна̀ (μήτρα), ὡς λοχία, λοχεύουσα. Налóжница (παλλακὶς) = ἄλοχος, ὁμόλεκτρος, κτλ. βλ. τὸ συγγεν. Лежу̀, καὶ Лáгеръ.

Лоза̀ (κλάδος, κλῆμα, ὅσχος) λυγὴ, λυγὰ [οἷον λυζὰ, λοζὰ, γ = ζ, υ = ο· ἐκ τῦ λυγὸς (= λυγισὸς), ' λύγος, πᾶν τὸ θαμνῶδες καὶ λυγισόν.] συγγ. Лука̀, Лóхъ, κτλ.

Локáю, Лочу̀ (λάπτω) οἷον λακάω, λακῶ, λάκω [κ = π. βλ. Лóпаю) = λαπάω (λαπάζω) λάπω, ὅθεν λάπτω, λτ. lambo (ἐκ τῦ λάπω, μετὰ τῦ μ. ὡς ἐκ τῦ λάβω, λάμβω), Κτσξ. schlappen· [α = ο, καὶ ω· ὡς, λώβη, labes κτλ.]

Лóкоть, βλ. Лáкоть.

Ломлю̀, Ломáю (θραύω, κλάω, ἐκ τῦ Лому̀) λάμω· (ὡς ἐκ τῦ λίω, εἶπον λίμω, ὅθεν τὸ λτ. lima· οὕτω φαίνεται καὶ ἐκ τῦ λάω, λάμω)· ὅθεν Лóмъ (θραῦσμα) οἷον λάμος = λάκος, ῥάκος. [λάω, λέω, λίω, λόω, λύω, ἐπὶ σημασίας ξέσεως, ῥήξεως, κοιλώσεως, συγγενῆ· ὅθεν, λάκω, λάπω, λέπω, λίπω, λίζω,

κτλ. βλ. Лémехъ καὶ Ῥείμ. λ. λέπω. ἴσως δὲ τὸ/Ломлю (Ломy) = (Лópy) Лópaю π=μ. ὡς, πεδὰ, μετὰ]. παῤβλ. Γρμ. lähmen (παραλύειν, χωλῦν, θραύειν, κτλ.)

Лóно (κόλπος) λῶνος, μεταθ. ἐκ τῦ ὤλνος, ἀντὶ ὤλενος, ὠλένη, ὅθεν καὶ τὸ λατ. ulnus, ulna. ἐκ τῦ ὦλος, ὠλὴν, Γοτθ. alleina, Γρμ. Ellen, Ἀγγλ. ell. Δαν. aln, alen, Ἰτ. alna, Γαλ. ἀρχ. aulne, ὅθεν τὸ aune (πῆχυς). Ἡ δὲ μετάθεσις τῦ Лóнa ἐκ τῦ ὤλνος, ὡς τὸ λέμινς, ἀντὶ ἔλμινς· „ λέμινθες, ἔλμινθες (Ἡσύχ. ὅθεν αἱ συνήθ. λεβίθες, θ = μ.). Ὁ Ἡσύχ. ἔχει καὶ, λίνος = ὄλινος, ὄλενος. Κύπριοι (=ὤλενος) κατ' ἀποκοπήν· ὡς „ λέβινθος = ἐρέβινθος (συνήθ. ῥεβίθι, ῥοβίθι), Ἰλεὺς = Ὀϊλεύς, ἴξαλος=αἴξαλος. κτλ.

Лопáта (πτύον) λοπάδα, λοπὰς (λέπω, λάπω, λάφω, γλάφω, διὰ τὸ κοῖλον τῦ πτύυ. ὅθεν, ὡς ἐκ τῆς ὁμοιότητος) 2, ὠμοπλάτης (ὡς καὶ Συνήθ. κουτάλα = κοτύλη, ἡ ὠμοπλάτη). 3, = λοπὸς, λέπος, λέπυρον, (ὡς λεπαςὴ), συγγ. Лóпость.

Лóпаю (θραύομαι, ῥήγνυμαι) λαπέω = λακέω λάκω. (π = κ· ὡς, λίμπω, linquo. ἵππος, ἴκος, ἴκϜος, equus· πέμπε, quinque). Лóпанецъ (χύτρα τεθραυσμένη) οἷον λάπανον, ἀντὶ λάκανον, ἢ λάξανον [ὅθεν συνήθ. λάτσανον, λατζανίζω· ὡς τραύξανον, λείψανον, κτλ.

εἰς ανον) = λάκισμα, λακὶς, λάκος, Γρμ. Laken, λακερὸν, ὅθεν λτ. lacer, lacerus, lacero.

Лóпость, λόπος, λόφος (ἄκρον πίλου.) 2, λόπος, λοπὰς (τὸ πλατὺ τῆς κώπης). βλ. Лопáта.

Лóпоть (παλαιὸν ἱμάτιον) λῶπος (λάπος) λάφος, λαῖφος „ λαίφε' ἔχοντα ('Οδ. N. 399.). Γρμ. Lappen (ῥάκος) καὶ Lumpen, 'Ισλ. lapp, κτλ. συγγεν. Лóпаю.

Лóскутъ (ῥάκος) λάσκος, λάξος, ἀντὶ λάκος, λακίς. [λάκω, λάζω, λάξω (λάκσω, λάσκω.) λτ. laxo (χαλῶ), ὅθεν λαγὼν, λαγαρὸς = λαπαρὸς, κτλ. λάκω = λάπω.]

Лóскъ (ςιλπνότης τῶν λείων. συνήθ. ὑάλισμα.) Καρν. lisk, lesk, leskanie (λάμψις) κτλ. Лощу̀ (λειόω, λιςρόω) συγγεν. λαύσσω, λεύσσω, λεύσσω (λύσσω, λύζω, λύξω, λύσκω, υ = ο, λόσκω.) λὺξ, λυκὸς (λόξ). ἐκ τοῦ λάω, λαύω (λάβω, λάπω, ὅθεν λάμπω) λαύσσω γλαύσσω = λέω, λεύω, λεύσσω (καὶ λέβω, Ϝλέπω, ὅθεν βλέπω, γλέπω), ὡς ἐκ τῆς λαμπρότητος καὶ τοῦ φωτός. οὕτω καὶ (λαύω) γλάφω· γλύφω (λύϜω)· λεῖος (λέω) λειόω, λτ. lævis, iævigo· (λίω) λισσὸς, λιττὸς, λὶψ, λὶς, λισσόω, Γλ. lisser, κτλ. (διὰ τὴν ςιλπνότητα τῶν λείων). ὅθεν καὶ Лощи́ло = λεῖςρον. βλ. Гла́жду· ὡς, λισσὸς, λισπὸς=λιξός, ὅθεν λίσγος. [παρβλ. Γρμ. glätten (glatt)

gleissen, Glas, glänzen, Glanz, Glenz; χωρὶς γ, Lenz· ὡς, καὶ lauren (λαύσσειν) glauren, gluren, glaren, glarren· καὶ συνήθ. γαλερίζω, γαλερίζω (βλέπω ἀμαυρὸν), ἐκ τῦ γλάω (γλαύω) γαλάω, γαλερὸς, γαληρὸς = γαληνὸς, λαμπρός. βλ. 'Ρείμ. λ. γλαύσσω]. βλ. τὸ συγγεν. Лужу̀.

Лоха́нь, Лаха́нь, λακάνη, αἰολικ. = λεκάνη.

Ло́сь (ἀλκὴ, cervus alces) ἐ-λλὸς. βλ. Еле́нь.

Ло́хъ (ἄγνος, ἢ eleagrus angustifolia) λύγος. (υ = ο, λόγος· γ = χ, λόχ-ος) Σ. λυγαρία· (καὶ τὸ ἄγνος ἐκ τῦ ἀγνύω = λυγίζω. βλ. Лука̀, Лоза̀, κτλ.)

Лу́бъ (φλοιός) λόπος, λοπὸς· ὡς λτ. liber. βλ. Луплю̀.

Лу́гъ (λειμὼν, λιβάδιον) λόχος (λόχμη) λτ. lucus· καὶ τὸ Συνήθ. λόγγος (δάσος = ξύλοχον) ἐκ τῦ λόχος, παρενθ'. τῦ γ· ὡς, λογὰς λογχὰς (βλ. Лу́згъ). Τὸ δὲ λτ. longus, Γρμ. lange (μακρὸς) ἐκ τῦ λαγγάω, λτ. langueo, λαγγάζω· καὶ λογγάζω = ἐνδίδωμι (lange machen, μηκύνω, ὅθεν ἀναβάλλομαι, ὀκνῶ.) ἀφ' ὗ καὶ λαγγὼν, λαγγώδης (= λτ. cessator, tricosus, ὀκνὸς), ὅθεν longus, λογγός.

Лу́да (ἱμάτιον μίμυ γελωτοποιῦ)' λῆδα, λῆδος, λήδιον (τριβώνιον εὐτελές. 'Ησύχ.). τὸ δὲ λυδὸς, λυδίων, ludio, ludius = μῖμος (παντομῖμος) παρὰ Ρωμαίοις, (βλ. Διον. 'Αλικαρ. 'Αρχ. Β, 71.). ἢ συγγεν. Луди́шь, Лужу̀.

